
Chr. Herwig

Lese- und Übungsbuch für den griechischen Anfangsunterricht

Kriegs-Einband



I-45358

Резерв

Lese- und Übungsbuch

für den

Griechischen Anfangsunterricht

von

Prof. Dr. Chr. Herwig,

Direktor des Gymnasiums und Realgymnasiums zu Bielefeld.

Siebente Auflage.



Bielefeld und Leipzig.

Verlag von Velhagen & Klasing.

1914.

1. Согласование (Kongruenz) М. 6/9, Н 8/11, Р 362-6, С. 244-5.

2-10. Ген. М. 1-5, Н. 9-21, С. 246-50, 383

11-15 Accus. М. 8-12, Н. 44-68, С. 384 + 252 сл.

16-23 Genet. М. 12-22, Н. 69-98, С. 386 + 265 сл.

24-33 Dat. М. 22-27, Н. 99-123, С. 385 + 259 сл.

34-38 предлоги Р. 327, 338 М. 27-40, Н. 124-168, С. 387 + 273-89.

35-38 Abl. М. 40-44, Н. 218-236, С. 387 + 289-93

39-42 Времена М. 44-53, Н. 237-265, С. 293-301

43-53 Наклонения М. 55-78, Н. 266-289. С. 390 + 301-306

54-57 Инфин. Констр. М. 80-89 Н. 290-310. С. 388 + 329-340

58 Gen. absol. М. 92 § 870, Н. 230 § 333, С. 393 § 75 + 348 § 14

59-61 Participia М. 89-101, Н. 311-344 С. 392 72-4 + 340-349

62-3 Ни М. 101, Н. 359-366 С. 389 + 350-2

64 Prolepsis

Die „Vorbemerkungen“ zu diesem Buche,
die anstatt einer Vorrede gesondert erscheinen, werden
auf Wunsch unentgeltlich geliefert.



Научная Б-ка

Übersicht

über

die Verteilung des grammatischen Stoffes auf die griechischen Lesestücke.

I. Das Nomen und die Grundformen des Verbums auf ω.

		Stück
O-Deklination.		
Masculina	[Ind. Praes. Act.]	1
Neutra		2
Wiederholung	[Enclitica]	3. 4
A-Deklination.		
Feminina auf η	[Coni. Praes. Act.]	5
„ „ α (ας)		6
„ „ α (ης)	[Imper. Praes. Act.]	7
Masculina auf ας u. ης		8
„ „ „	[Ind. Fut. Act.]	9
Feminina auf ος	[Ind., Part. u. Inf. Praes. Pass.]	10
Wiederholung der O- und A-Deklination	[Coni. u. Imper. Praes. Pass.]	11
	[Ind. u. Inf. Fut. Med.]	12
Dritte Deklination.		
Stämme auf ρ und ν		13
„ „ k- u. p-Laute		14
„ „ „	[Impf. Act.]	15
„ „ t-Laute	[Impf. Pass.]	16. 17
„ „ „	[Ind. Aor. Act.]	18
„ „ „	[Pronom. pers.]	19
„ „ ντ		20
„ „ „	[Part. Praes., Aor. u. Fut. Act.]	21
Synkopierte Stämme auf ρ		22
Stämme auf ου, υ, οι		23
„ „ ι und ευ		24
Adjektive auf ύς nebst μέγας		25
Stämme auf ας		26
Neutra auf ος	[Augm. tempor.]	27
Adjektive auf ης	[Coni. Aor. Act.]	28
Eigennamen auf ης u. κλῆς	[Imper. Aor. Act.]	29

		Stück
Unregelmäfsigkeiten der Deklination.		
Ἄρης, Ζεύς, γυνή, χείρ	[Inf. Aor. Act.]	30
εἷς, οὐδείς, μηδείς	[Aor. Med. (aufser Opt.)] . . .	31. 32
ναῦς und Contracta der A- und O-Deklination	[Opt. Praes. u. Aor. Act.] . . .	33. 34
Wiederholung der III. Deklination	[Opt. Praes. u. Aor. Med.] . . .	35. 36
Komparation der Adjektive und Adverbien		37—39
Zahlwörter		40—42
***Pronomina** (soweit sie noch nicht dagewesen)		43—45
II. Die übrigen Formen der regelmäfsigen Verba auf *ω*.		
Praesens und Imperfekt der Verba contracta . . .		46—51
Perfektstamm des Activs	der Verba pura non contracta	52
Perfektstamm des Passivs		53
Aoriststamm des Passivs		54
Verba mit Augment *ει		55
Regelmäfsige Tempusbildung der Verba pura . . .		56. 57
***Abweichungen von der regelmäfsigen Tempusbildung**		58—60
Verba muta		61—66
Verba liquida		67—70
Starke Aoriste und Perfekte der Verba auf *ω* . . .		71—75
III. Verba auf *μι*.		
δίδωμι und *δείκνυμι*		76
τίθημι und *ἵημι*		77
ἵστημι		78. 79
Verba nach Analogie von *ἵστημι*		80
Verba auf *νυμι*		81. 82
Starke Aoriste nach Analogie der Verba auf *μι* . .		83
Unregelmäfsige Verba auf *μι*		84—87
IV. Unregelmäfsige Verba auf *ω*.		
Verba auf *σκω*		88. 89
Verba auf *νω*		90—92
Verba mit gedehntem Praesensstamm		93
Verba der E-Klasse		94—96
Verba mit verschiedenen Stämmen		97—101
Deponentia Passivi		102
Transitive und intransitive Bedeutung		103. 104

*) Die Stücke 55 und 58—61 können bis zur Behandlung der unregelmäfsigen Verba zurückgestellt werden; auch 43—45 lassen sich auf einen etwas späteren Zeitpunkt verschieben.

Erster Teil.

Griechische Lesestücke.

1. Der treue Freund.

Πιστεύω τῷ φίλῳ. Πιστὸν φίλον ἐν κινδύνοις γιγνώ- 1 2
σκεις. Ὁ φίλος τὸν φίλον ἐν πόνοις καὶ κινδύνοις οὐ λείπει. 3
Τοῖς τῶν φίλων λόγοις ἀεὶ πιστεύομεν. Εἰ κινδυνεύετε, ὦ 4 5
φίλοι, τοὺς τῶν ἀνθρώπων τρόπους γιγνώσκετε· οἱ μὲν
γὰρ ἄπιστοι φίλοι οὐ μετέχουσι τοῦ κινδύνου, οἱ δὲ πιστοὶ
συγκινδυνεύουσι τοῖς φίλοις. Πιστοῖς φίλοις μᾶλλον ἢ 6
χρυσῷ καὶ ἀργύρῳ πιστεύομεν. Οἱ ἀγαθοὶ ἄνθρωποι καὶ 7
ἐν κινδύνοις ἀεὶ ἀγαθὸν ἔχουσι θυμόν· τῷ γὰρ θεῷ πι-
στεύουσιν. Ὦ φίλε, θεὸς τοὺς ἀγαθοὺς ἀνθρώπους οὐ λεί- 8
πει. Πολλοὶ ἄνθρωποι τῷ πλούτῳ μᾶλλον ἢ τῷ θεῷ 9
πιστεύουσιν.

2. Kriegsvorbereitungen.

Ἀκούομεν τὸ τῶν πολεμίων στρατόπεδον ἐγγὺς ἤδη 1
τῶν ὁρίων εἶναι. Ὁ δ' ἡμέτερος στρατὸς τὰ ἄκρα ἔχει καὶ 2
κωλύει τοὺς πολεμίους ὑπερβαίνειν τὰ ὅρια. Οἱ δὲ στρα- 3
τηγοὶ τοὺς μὲν φρουροὺς ἐν τοῖς ὅπλοις γυμνάζουσιν, τὰ
δὲ φρούρια τειχίζουσιν. Οἱ δὲ γεωργοὶ σῖτον καὶ πρό- 4
βατα εἰς τὰ ἐχυρὰ χωρία κομίζουσιν. Εἰ γὰρ οἱ πολέ- 5

μιοι τὰ ὅρια ὑπερβαίνουσιν, οἱ γεωργοὶ ἐκ τῶν ἀγρῶν εἰς
τὰ φρούρια φεύγουσιν. Δεῖ οὖν τὰ φρούρια τῶν
ἐπιτηδείων μεστὰ εἶναι· οἱ γὰρ πολέμιοι τὰ μὲν τῶν
γεωργῶν ἔργα διαφθείρουσιν, τὰ δὲ φρούρια κύκλῳ περιέ-
χουσιν.

3. Der Landmann.

1 Οἱ τῶν γεωργῶν πόνοι πολλάκις μάταιοί εἰσιν· οἱ
μὲν γὰρ κάπροι διαφθείρουσι τοὺς καρπούς, οἱ δὲ λύκοι τὰ
2 πρόβατα ἁρπάζουσιν. Τῶν φαύλων δένδρων καὶ οἱ καρποὶ
3 φαῦλοί εἰσιν. Τοῦ μὲν γεωργοῦ ἐστιν ἔργον φυτεύειν
καὶ σπείρειν, ὁ δὲ θεὸς αὐξάνει τόν τε σῖτον καὶ τοὺς τῶν
4 δένδρων καρπούς. Ἄνευ γὰρ ὄμβρου καὶ ἡλίου οὐκ ἔστι
5 καρπὸν τρέφειν ἐκ τῶν φυτῶν. Καλὸς οὖν πάλαι νόμος ἦν
τῶν γεωργῶν, τοῖς τῶν ἀγρῶν καρποῖς τοὺς θεοὺς θερα-
6 πεύειν. Πολλοῖς ἀνθρώποις, μάλιστα δὲ τοῖς γεωργοῖς,
πόνων μεστός ἐστιν ὁ βίος· σὺν δὲ θεῷ ἀγαθὸν ἔχουσι
7 θυμόν. Μάτην σπείρεις καὶ φυτεύεις, ὦ γεωργέ, εἰ μὴ τὸν
θεὸν συνεργὸν ἔχεις.

4. Der vertragsbrüchige Nachbar.

1 Οὐκ ἔστιν ἥσυχον βίον ἄγειν, εἰ μὴ τοῖς ὁμόροις
2 φίλον ἐστίν. Κακοὺς δ' ὁμόρους οὔτ' ἄνθρωποι οὔτε
3 θεοὶ κωλύουσι τοὺς ὅρκους λύειν. Καὶ δὴ οἱ ἡμέτεροι σύμ-
μαχοι ἐν φόβῳ πολέμου εἰσίν· οἱ γὰρ ὅμοροι μέλλουσιν
4 αὐτοῖς ἐπιστρατεύειν. Ὁ δ' ἡμέτερος στρατὸς ἕτοιμός ἐστι
5 τοῖς συμμάχοις συγκινδυνεύειν. Καὶ οἱ μὲν πολέμιοι τῷ
6 τ' ἀριθμῷ καὶ τοῖς ὅπλοις πιστεύουσιν. Ὁ δ' ἡμέτερος καὶ
7 ὁ τῶν συμμάχων στρατὸς οὐκ ἔχουσιν ἀθύμως. Ὁ γὰρ
θεὸς φυλάττει τοὺς ὅρκους καὶ τοὺς μὲν ἀδίκους καὶ ἐπιόρ-
κους κολάζει, τοῖς δὲ δικαίοις πιστός ἐστι σύμμαχος.

Τοὺς δὲ κακοὺς οὐ σῴζει τὰ ὅπλα· ἄνευ γὰρ θυμοῦ καὶ 8
ἐν τοῖς ὅπλοις ἄοπλοί εἰσιν.

5. Das Siegesdenkmal.

Ὅταν εἰς τὸ ἄκρον τὸ ὑπὲρ τοῦ ποταμοῦ ἀναβλέ- 1
πωμεν, χαίρομεν ἐπὶ τῇ καλῇ τοῦ πολέμου τελευτῇ.
Τρόπαιον γὰρ ἐν τῇ κορυφῇ ἐστιν, στήλη λιθίνη καὶ 2
Νίκη, ἵνα καὶ τοῖς ἐκγόνοις μνήμην παρέχῃ τῆς τῶν
προγόνων ἀρετῆς. Καὶ ἐν τῇ μὲν στήλῃ ἐπιγραφή ἐστι 3
τῶν τοῦ πολέμου μαχῶν, ἡ δὲ Νίκη ἔχει στέφανον ἐπὶ
τῇ κεφαλῇ. Καὶ οἱ μὲν τοῦ πολέμου κοινωνοί, ὅταν εἰς 4
τὸ τρόπαιον βλέπωσιν, τῶν κοινῶν κινδύνων καὶ πόνων
μνήμην ἔχουσιν. Οἱ δ' ἄλλοι καὶ τὰς ἐκείνων νίκας 5
θαυμάζουσι καὶ καλὴν ἀρετῆς σπουδὴν λαμβάνουσιν.
Μάλιστα δ' αἱ τῶν νικῶν μνῆμαι τοὺς τῶν νέων θυ- 6
μοὺς αὐξάνουσιν· ἔνεστι γὰρ αὐτῶν ταῖς ψυχαῖς καλῶν
ἔργων ὁρμή.

6. Naher Krieg.

Φόβος ἐστίν, μὴ οἱ ὅμοροι τὰς σπονδὰς λύωσι καὶ εἰς 1
τὴν ἡμετέραν χώραν ἐμβάλλωσιν. Αἰτίαι δ' αὐτοῖς 2
οὐ δίκαιαί εἰσιν· ἥ τ' ἐκ τῆς προτέρας ἀτυχίας αἰσχύνη
καὶ ἡ ἡμετέρα εὐδαιμονία. Γυμνάζουσι δὲ τὴν στρα- 3
τιὰν πολλῇ σπουδῇ καὶ τῶν ἐπιτηδείων ἐπιμέλειαν
ἔχουσιν ὡς εἰς μακρὰν στρατείαν. Τὰ δὲ χωρία τὰ 4
ἐγγὺς τῶν ὁρίων μέστά ἐστι καὶ φρουρῶν καὶ ὅπλων καὶ
ἄλλης παρασκευῆς· καὶ αἱ τῶν φυλακῶν σκηναὶ ἤδη ἐπὶ
τοῖς ὁρίοις εἰσίν. Οἱ δὲ γεωργοὶ νομίζουσι κίνδυνον εἶναι, 5
μὴ ἡ τῶν πολεμίων στρατιὰ ἐξαίφνης εἰς τὴν ἡμετέραν
χώραν ἐμβάλλῃ. Πολλοὶ οὖν αὐτῶν λείπουσι τὰς οἰ- 6
κίας καὶ ἄγουσι τὰ πρόβατα εἰς τὰ ἐχυρὰ χωρία, ἵνα

μὴ οἱ πολέμιοι ἁρπάζωσιν. Πολλὰς δ' ἤδη τῶν ἐπὶ τοῖς ὁρίοις κωμῶν ἐρήμας ἀνθρώπων εἶναι ἀκούομεν.

7. Alles mit Maſs.

Ἔστι παροιμία καλή· Μηδὲν ἄγαν. Ἡ γὰρ ὑπερβολὴ τοῖς ἀνθρώποις ἀεὶ λύπην παρέχει. Καὶ τοῖς μὲν ἡ τῆς διαίτης ἀκολασία πολλῶν κακῶν αἰτία ἐστίν, τοὺς δ' ἡ τῆς δόξης ἐπιθυμία εἰς τόλμαν καὶ κινδύνους ἄγει, πολλοὺς δὲ καὶ αἰσχρὰ φιλαργυρία πείθει τοὺς νόμους παραβαίνειν. Ἄγε δή, ὦ φίλε, κάτεχε πεῖναν καὶ δίψαν καὶ τὰς ἄλλας ἐπιθυμίας· πολλοὶ γὰρ ἐν μεσταῖς τραπέζαις τὴν ἐσθλῶν ἔργων δίψαν διαφθείρουσιν. Εἰ δὲ δόξαν καὶ τιμὴν διώκεις, τόλμα μὴ ἀρχέτω σωφροσύνης. Τὴν δὲ φιλαργυρίαν φεῦγε· λέγουσι γὰρ τῶν ἀδικιῶν ῥίζαν εἶναι. Μάλιστα δὲ καὶ οἱ λόγοι μέτρον ἐχόντων καὶ φευγόντων τὴν ὑπερβολήν. Ἡ γὰρ· τῆς γλώττης ἀκολασία πολλοῖς λύπην καὶ αἰσχύνην φέρει. Ἀλήθευε οὖν καὶ μὴ πολλὰ λέγε, ἀλλὰ καλά· ὀρθῶς γὰρ ἔτι καὶ νῦν ἔχει ὁ λόγος·

Ἡ γλῶττα πολλῶν ἐστιν αἰτία κακῶν.

8. Das Staatsschiff.

Ὥσπερ οἱ ναῦται τῇ τοῦ κυβερνήτου τέχνῃ πιστεύουσιν ἐν τοῖς τῆς θαλάττης κινδύνοις, οὕτω δεῖ τοὺς πολίτας τῇ τῶν ἀρχῶν γνώμῃ πιστεύειν. Εἰ δὲ μὴ ἀγαθός ἐστιν ὁ κυβερνήτης, τό τε πλοῖον κινδυνεύει καὶ οἱ ἐν αὐτῷ· αἱ δ' ἀρχαί, εἰ μὴ φροντίζουσι τῆς τῶν πολιτῶν σωτηρίας, τὴν πολιτείαν διαφθείρουσιν. Καὶ τοῦ μὲν κυβερνήτου ἔργον ἐστὶ τὸ πλοῖον φυλάττειν καὶ εἰς τὸν ὅρμον κατάγειν· τὰς δ' ἀρχὰς δεῖ τὴν δίκην σῴζειν. Καλῶς δ' ἔχει ἡ πολιτεία, εἰ μὴ μόνον οἱ πολῖται τοὺς νόμους φυλάττουσιν, ἀλλὰ καὶ αἱ ἀρχαί. Ὥσπερ γὰρ καὶ

οἱ στρατηγοὶ τὴν τῶν στρατιωτῶν εὐταξίαν σῴζουσιν, εἰ αὐτοὶ διαφέρουσιν αὐτῶν εὐταξίᾳ, οὕτω καὶ τοὺς τῆς πολιτείας προστάτας εὐνομίας δεῖ φροντίζειν, ἵνα καὶ τοὺς πολίτας παρέχωσιν εὐνόμους. Ταμίαι γὰρ τῆς πολιτείας εἰσίν, οὐ δεσπόται. Ὦ πολῖται, φύλαττε ἀεὶ τοὺς νόμους· οὔτε γὰρ τὰ τῶν στρατιωτῶν ὅπλα οὔτε ἡ τῶν ἀρχῶν γνώμη σῴζει τὴν πολιτείαν, εἰ μὴ οἱ πολῖται εὐνομίας φροντίζουσιν.

9. Der Eber.

Ἐκ πολλοῦ χρόνου οἱ γεωργοὶ ἐν πόνοις εἰσίν· κάπρος γὰρ τὸν ἐν τοῖς ἀγροῖς σῖτον διαφθείρει. Μάτην δὲ φυλακὰς φυλάττουσι καὶ ἐπιβουλεύουσι τῷ θηρίῳ· οὐ γὰρ δυνατοί εἰσι καταλαμβάνειν αὐτό. Ἀθρόοι οὖν τὸν κάπρον θηρεύσομεν· θηρευτὰς δ' ἔχομεν πολλοὺς καὶ ἀγαθούς. Οἱ γὰρ ἐκ τῶν πλησίον κωμῶν νεανίαι ἑθελονται καὶ κινδυνεύσουσι μετὰ τῶν ἡμετέρων θηρευτῶν· φιλόθηροι γάρ. Ἀλλὰ καὶ τῶν οἰκετῶν οὐκ ὀλίγους κελεύσομεν μετέχειν τῆς θήρας. Καὶ οἱ μὲν οἰκέται τὴν ὕλην, ἐν ᾗ ὁ κάπρος ἐστίν, κύκλῳ περικλείσουσιν, ἵνα μὴ ἐκφεύγῃ. Οἱ δὲ θηρευταὶ τὸ θηρίον ἰχνεύσουσιν, καὶ οὐ φόβος, μὴ μάτην βάλλωσι τοῖς τόξοις καὶ τοῖς ἀκοντίοις· εἰσὶ γὰρ ἐν αὐτοῖς τοξόται τε καὶ ἀκοντισταὶ ἀγαθοί. Ἐλπίζουσι δὲ καὶ ἆθλον καλόν· τὴν γὰρ κεφαλὴν τοῦ κάπρου λαμβάνει κατὰ τὸν νόμον, ὅστις αὐτὸν διαφθείρει. Πιστεύομεν οὖν τὴν ἡμετέραν θήραν τοὺς τῶν γεωργῶν πόνους παύσειν!

10. Ägypten.

Ἡ Αἴγυπτος στενή ἐστι καὶ ἀπ' Ἐλεφαντίνης τῆς νήσου μέχρι τῆς θαλάττης τείνει. Ἡ δὲ χώρα αὐτὴ ξηρά

ἐστιν· ὄμβροι μὲν γὰρ, διὰ πολλῶν ἐνιαυτῶν· οὐ γίγνον-
ται ἐν αὐτῇ, δρόσος δ' ὀλίγη. Διὰ μέσης δὲ τῆς Αἰγύπτου
ὁ Νεῖλος ποταμὸς φέρεται, ὃς κατ' ἐνιαυτὸν τὴν χώραν
καταχλύζει. Τότε καὶ αἱ ὁδοὶ, κατέχονται τῷ ποταμῷ, καὶ
οὐκ ἔστιν ἄνευ πλοίων πορεύεσθαι. Οἱ δ' ἀγροὶ πιαί-
νονται τῷ πηλῷ, ὃς ἐκ τῆς Αἰθιοπίας κατάγεται. Ἡ δὲ
καταχλυζομένη χώρα ἀεὶ τῷ πηλῷ αὐξάνεται· ὥστε οἱ
παλαιοὶ ὀρθῶς τὴν Αἴγυπτον, μάλιστα δὲ τὸ Δέλτα, δῶρον
τοῦ Νείλου λέγουσιν. Φέρει δ' ἡ Αἴγυπτος κριθὴν ἄφθο-
νον καὶ πυρὸν καὶ τὰ ἄλλα σῖτα· ἄμπελοι δ' ἐν αὐτῇ οὐ
γίγνονται. Ὁ γὰρ οἶνος ὁ τῶν Αἰγυπτίων, ὡς παρ'
Ἡροδότου διδασκόμεθα, οὐκ ἐκ τῆς ἀμπέλου ἦν, ἀλλ'
ἐκ κριθῆς. Ἐν δὲ τῷ Νείλῳ βύβλος φύεται ἄφθονος, ἣ
τοῖς Αἰγυπτίοις, πολλοῦ ἀξία ἦν· βύβλινα μὲν γὰρ ἦν τὰ
ἱστία, βύβλινα δὲ καὶ τὰ βιβλία αὐτῶν, πολλοῖς δ' ἦν ὁ
καυλὸς καὶ ἡ ῥίζα τῆς βύβλου ἀντὶ σίτου. Ἐν δὲ τοῖς
Ἡροδότου βιβλίοις ἐστίν, νόσους ἐν τῇ Αἰγύπτῳ ὀλίγας
γίγνεσθαι.

Aufruf.

11.

Οἱ πολέμιοι ἐκ πολλοῦ χρόνου εἰς πόλεμον παρασκευά-
ζονται, τῇ τε προτέρᾳ ἥττῃ καὶ τῇ ἡμετέρᾳ εὐδαιμονίᾳ ἀχ-
θόμενοι. Ἄγετε δή, ἀντιπαρασκευαζώμεθα σπουδῇ καὶ
στρατευώμεθα ἐπ' αὐτούς, ἵνα μὴ ἡ ἡμετέρα χώρα ὑπ'
αὐτῶν διαρπάζηται. Φόβος γάρ ἐστιν, μὴ οἱ πολέμιοι ἐξαί-
φνης φαίνωνται καὶ τὸν ποταμὸν διαβαίνωσιν. Δεῖ οὖν
τὴν φρουρὰν τὴν ἐπὶ τῇ γεφύρᾳ αὐξάνεσθαι, ἵνα ἡ γέφυρα
μὴ καταλαμβάνηται ὑπ' ἐκείνων. Οἱ δὲ φρούραρχοι οἱ
ἐν τοῖς ἐχυροῖς χωρίοις πρὸς τὴν τῶν πολεμίων εἰσβολὴν
παρασκευαζέσθων καὶ τῶν ἐπιτηδείων ἐπιμελέσθων,

ἵνα μὴ ἀπαράσκευοι καταλαμβάνωνται. Ἄγετ', ὦ στρα- 6
τιῶται, πορεύεσθε σὺν θεῷ καὶ μάχεσθε ἀνδρείως. Εἰ 7
δὲ μὴ δυνατοί ἐστε τοῖς πολεμίοις ἐπὶ τῷ ποταμῷ ἀντέ-
χειν, ἡ γέφυρα λυέσθω.

12.

Ἐλπίζομεν δὲ μὴ μόνοι ἐπὶ τοὺς πολεμίους στρατεύ- 1
σεσθαι. Ἔχομεν γὰρ συμμάχους πιστοὺς καὶ ἀγαθούς, οἳ 2
ἁθρόοι ἐκπορεύσονται. Καὶ οἱ στρατηγοὶ αὐτῶν τοῖς 3
ἡμετέροις συμβουλεύσονται περὶ τῆς στρατείας, ἵν' ἐν
καιρῷ ἐκπορεύωνται καὶ τῆς μάχης μετέχωσιν. Μὴ οὖν 4
ἀθύμως ἔχετε, ὦ πολῖται, ἀλλὰ πιστεύετε τῇ τε τῶν στρα-
τηγῶν γνώμῃ καὶ τῇ τῶν στρατιωτῶν ἀνδρείᾳ. Εὔχεσθε 5
δὲ τῷ θεῷ, ὃς τὴν τῶν στρατευσομένων τύχην κρίνει,
καὶ πιστεύετε αὐτῷ. Συμμάχεται γὰρ τοῖς ἀγαθοῖς καὶ 6
κολάζει τοὺς κακούργους· κακοῦργος δ' ἐστίν, ὅστις τῶν
ὅρκων καὶ τῶν σπονδῶν μὴ φροντίζει. Τοῖς μὲν οὖν πολε- 7
μίοις, εἰ τὴν εἰρήνην λύσουσιν, ὁ θεὸς οὐ συστρατεύ-
σεται, ἡμεῖς δ' οὐκ ἄνευ αὐτοῦ ἐκπορευσόμεθα.

Der Winter.

13.

Χειμῶνος, ὅταν πολλὴ χιὼν τοὺς ἀγροὺς κατέχῃ, οἵ 1
τε γεωργοὶ ἡσυχίαν ἄγουσι καὶ οἱ ποιμένες. Οὔτε γὰρ 2
τοὺς ἀγροὺς ἔστιν ἐργάζεσθαι διὰ τὴν χιόνα, οὔτε νέμειν
τὰ πρόβατα, ὅτι χόρτος οὐκ ἔστιν ἐν τοῖς λειμῶσιν. Οἱ 3
δὲ ναῦται τὰ πλοῖα εἰς τοὺς λιμένας κατάγουσι καὶ ἐνταῦθα
μένουσιν εἰς τὸ ἔαρ· ἄπορος γὰρ ἡ θάλαττα καὶ διὰ τὸν
κρύσταλλον καὶ διὰ τοὺς χειμῶνας. Ἐν δὲ ταῖς οἰκίαις 4

οἱ ἄνθρωποι πῦρ κάουσιν· ὅταν δ' ἀναγκάζωνται ἔξω τοῦ οἴκου εἶναι, πυκνοὺς χιτῶνας καὶ χλαίνας ἐνδύονται, τὰς δὲ χεῖρας καὶ τὰς κεφαλὰς διφθέραις ἐγκαλύπτουσιν. Πολλάκις δ' αἱ κατ' ἀγρὸν ὁδοὶ τῇ χιόνι οὕτω δύσποροι γίγνονται, ὥστε τοὺς γεωργοὺς πολλὰς ἡμέρας καὶ δὴ καὶ μῆνας τῶν γειτόνων ἀποκλείεσθαι. Οἱ δὲ θῆρες τῷ λιμῷ ἀναγκαζόμενοι τοῖς τῶν γεωργῶν σταθμοῖς πλησιάζουσι καὶ ἁρπάζουσι χῆνας καὶ ἄλλα ζῷα, ἃ ἐνταῦθα τρέφεται.

14.

Μάλιστα δ' αἱ ἀλώπεκες ταῖς χησὶ φοβεραὶ γίγνονται. Οἱ δὲ γεωργοὶ κύνας τρέφουσιν, οὐ μόνον τῶν κλωπῶν, ἀλλὰ καὶ τῶν ἀλωπέκων καὶ τῶν ἄλλων θηρῶν ἕνεκα. Πιστοὶ γὰρ φύλακες τῶν οἰκιῶν εἰσιν οἱ κύνες, ὅτι ταῖς ῥισὶν ὀσφραίνονται, ὅταν ἄνθρωποι ἢ θῆρες τῷ σταθμῷ πλησιάζωσιν. Τρέφονται δὲ καὶ εἰς τὴν θήραν διὰ τὴν τῶν ῥινῶν ἀρετήν, ἵνα τοὺς θῆρας ἰχνεύωσιν. Οἱ δὲ θηρευταὶ μάλιστα ἐν τοῖς χειμερινοῖς μησὶν ἀλώπεκας θηρεύουσι καὶ αἶγας ἀγρίας καὶ ἐλάφους καὶ ἄλλα θηρία. Ἔαρος δὲ γιγνομένου χαίρουσιν οἱ ἄνθρωποι· ἡ γὰρ χιὼν τήκεται ταῖς τοῦ ἡλίου αὐγαῖς καὶ θάλλουσιν ὕλαι καὶ λειμῶνες. Τότε καὶ ταῖς χελιδόσι χαίρομεν, κήρυξι καὶ ἀγγέλοις τοῦ ἔαρος, καὶ τῇ τῶν ἀηδόνων φωνῇ. Οἱ μὲν γὰρ στροῦθοι καὶ οἱ κόρακες καὶ αἱ γλαῦκες καὶ χειμῶνος ἐνταῦθα μένουσιν, αἱ δὲ χελιδόνες καὶ ἀηδόνες, ὅτι τὸν χειμῶνα οὐ φέρουσιν, εἰς τὴν μεσημβρίαν καταφεύγουσιν.

15. Die Erlegung des Ebers.

Χαίρετε καὶ ἑορτὰς ἄγετε, ὦ γεωργοί· ἔχομεν γὰρ τὸν κάπρον, ὃς διὰ πολλῶν μηνῶν τὰ ὑμέτερα ἔργα διέφθει-

ρεν. Πολλὰς δ᾽ ἡμέρας μάτην ἐδιώκομεν τὸν θῆρα, καὶ 2
πολλοὶ ἤδη ἐκέλευον χαίρειν τὴν θήραν. Ἀεὶ γὰρ ὁ 3
κάπρος, ὁπότε οἱ θηρευταὶ ἐπλησίαζον, εἰς τὴν ἄβατον
ὕλην ἔφευγεν, ὥστ᾽ οὐκ ἦν αὐτὸν καταλαμβάνειν. Ἐπειδὴ 4
δ᾽ ἤδη ἑσπέρα ἦν, τῶν νεανιῶν τις ἐβούλευε πυρὶ ἐξε-
λαύνειν τὸν κάπρον· καὶ ἐγὼ ἐκέλευον τοὺς οἰκέτας πῦρ
ἀναχάειν καὶ ξύλα ἐμβάλλειν πολλά. Τῶν δὲ θηρευτῶν τινες 5
φέροντες τὰ καόμενα ξύλα ἐπλησίαζον τῷ κάπρῳ· ὁ δ᾽
οὐκ ἔφερε τὸ πῦρ. Κύκλῳ γὰρ περιεχόμενος ταῖς φλοξὶν 6
ἐκ τῆς ὕλης φέρεται καὶ εἰς τὰ ἡμέτερα ἀκόντια ἐμπίπτει.
Ὑμεῖς δέ, ὦ γεωργοί, οἱ ἀεὶ πολλὰ κακὰ ἐπάσχετε ὑπὸ 7
τοῦ θηρός, νῦν κρατῆρι οἴνου μεστῷ τοὺς θηρευτὰς
ξενίζετε.

16. Meldung vom Feinde.

Ἆρα νέον τι ἔχεις ἀγγέλλειν; ἐκελεύου γὰρ τῷ τῶν 1
πολεμίων στρατεύματι πλησιάζειν ἐπὶ κατασκοπῇ. Ἔχω 2
πολλὰ καὶ καλά, ὦ στρατηγέ. Τῆς ἑσπέρας γὰρ μετὰ τῶν
ἄλλων, οἱ ἐπέμποντο σκοποί, πρῶτον μὲν τὴν ὕλην διέ-
βαινον, ἣ τὸ ἡμέτερον στρατόπεδον τῶν πολεμίων χωρίζει.
Μετὰ ταῦτα δ᾽ ἐφαίνετο τὰ τῶν πολεμίων πυρά· ἦν δ᾽ 3
οὕτω πολλά, ὥστ᾽ ἐλογιζόμην τέτταρας μυριάδας ἐνταῦθα
στρατοπεδεύεσθαι. Καὶ οἱ μὲν ἐν τῷ στρατοπέδῳ δεῖπνον 4
παρεσκευάζοντο· ὥσθ᾽ ἡμεῖς ἐλανθάνομεν αὐτούς. Βου- 5
λόμενοι δ᾽ ἐγγύτερον γίγνεσθαι, εἰς τὰς φυλακὰς ἐνεπίπ-
τομεν. Οἱ δὲ φύλακες ἐκέλευον ἡμᾶς τὸ σύνθημα 6
ἀποφαίνεσθαι· ἡμεῖς δὲ δρόμῳ ἐφεύγομεν. Μετὰ δὲ ταῦτα 7
πολλὰ πράγματα εἴχομεν· δόρασι γὰρ καὶ τοξεύμασιν
ἐπιεζόμεθα· τραύματα δ᾽ οὐκ ἐλαμβάνομεν. Ἀγγέλλετε 8
καλά, ὦ νεανίαι, καὶ τὰς ἐλπίδας οὐκ ἐψεύδετε· φανερὸν
δ᾽ ἐστίν, ὅτι ὀρθῶς ἀεὶ ἀγαθοὶ στρατιῶται ἐνομίζεσθε.

17. Die griechischen Stämme.

1 Οἱ Ἕλληνες ἐνόμιζον αὐτόχθονες εἶναι καὶ Ἕλληνος
2 τοῦ Δευκαλίωνος ἀπόγονοι. Τῶν γὰρ τεττάρων φυλῶν αἱ
μὲν ἐλέγοντο ἀπ᾽ Αἰόλου καὶ Δώρου, τῶν Ἕλληνος παίδων,
τὰ ὀνόματα ἔχειν, αἱ δ᾽ ἀπ᾽ Ἴωνος καὶ Ἀχαιοῦ, τῶν
3 Ξούθου τοῦ Ἕλληνος παίδων. Καὶ οἱ μὲν Ἴωνες μάλιστα
τῆς ναυτικῆς ἐπιστήμονες ἦσαν καὶ κατὰ θάλατταν δυνατοί,
4 οὐ μόνον ἐν τῇ Ἑλλάδι, ἀλλὰ καὶ ἔξω αὐτῆς. Πολλαὶ
γὰρ καὶ εὐδαίμονες ἀποικίαι αὐτῶν ἔν τε Θρᾴξὶ καὶ Μακε-
δόσι καὶ ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῷ Εὐξείνῳ πόντῳ ἦσαν.
5 Τῶν δὲ θεῶν ἐν τοῖς λιμέσι μάλιστα ἐθεράπευον Πο-
6 σειδῶνα. Οἱ δὲ τοῦ Δώρου ἀπόγονοι, ὧν οἱ Λακεδαι-
μόνιοι ἐπρώτευον, κατὰ γῆν τῶν ἄλλων Ἑλλήνων περιῆσαν.
7 Ἐν δὲ τοῖς πρὸς τοὺς Πέρσας ἀγῶσιν, μάλιστα δ᾽ ἐν τῇ ἐν
Μαραθῶνι μάχῃ καὶ ἐν τῇ ἐν Σαλαμῖνι ναυμαχίᾳ, οἱ
8 Ἀθηναῖοι ἡγεμόνες καὶ σωτῆρες τῆς Ἑλλάδος ἦσαν. Μετὰ
δὲ τὰ Μηδικὰ πολλαὶ ἀεὶ ἔριδες περὶ τῆς ἡγεμονίας τοῖς
Ἕλλησιν ἐγίγνοντο, ὥστε ὕστερον οὐκέτι δυνατοὶ ἦσαν
9 τοῖς γείτοσι βαρβάροις ἀντέχειν. Φίλιππος γὰρ ὁ Μακε-
δὼν τῇ ἐν Χαιρωνείᾳ μάχῃ τὴν τῶν Ἑλλήνων ἐλευθερίαν
διέφθειρεν.

Der Apfel der Eris.

18.

1 Ἐν τῷ Θέτιδος γάμῳ οἱ μὲν ἄλλοι θεοὶ παρῆσαν,
Ἔριν δὲ διὰ τὸν ἔριδος καὶ μάχης ἔρωτα ἐκώλυσαν μετέ-
2 χειν τῆς ἑορτῆς. Ἡ δὲ τὴν ἐκείνων ἡδονὴν ἔπαυσεν
ἐξαίφνης· ἔρριψε γὰρ μῆλον χρυσοῦν εἰς τὰς θεάς, ἐνῆν δέ·
3 „Τῇ καλλίστῃ“. Τῶν δὲ θεῶν καὶ Ἥρα καὶ Ἀθηναία, ἣν
Παλλάδα ὀνομάζουσιν οἱ ποιηταί, καὶ Ἀφροδίτη ἐνόμιζον
4 τῇ τοῦ σώματος χάριτι τῶν ἄλλων διαφέρειν. Ἐπειδὴ δ᾽

ἑκάστη αὐτῶν ἔλεγε τοῦ μήλου εἶναι ἀξία, Ζεὺς συνεβούλευσεν αὐταῖς Πάριδι τῷ Πριάμου ἐπιτρέπειν τὴν ἔριν κρίνειν. Μετὰ δὲ ταῦτα Ἑρμῆς, ὁ τῶν θεῶν κῆρυξ, ἐπὶ χρυσοῦ ἅρματος τὰς θεὰς εἰς τὴν Ἴδην ἐκόμισεν, ἐν ᾗ Πάρις τὰ τοῦ Πριάμου πρόβατα ἔνεμεν. Ὁ δ' ἐθαύμασεν ἰσχυρῶς· πρῶτον μὲν γὰρ λεπτὴ νεφέλη αὐτῷ ἐπλησίαζεν· ἔπειτα χρυσοῦν ἅρμα καὶ ἵππους ὄρνισιν ὁμοίους ἔκρινεν· πτηνοῖς γὰρ ποσὶ διὰ τοῦ ἀέρος ἐπέτοντο. Μᾶλλον δ' ἐθαύμασε τὸ βασιλικὸν τῆς Ἥρας σχῆμα καὶ τὴν λαμπρὰν τῆς Παλλάδος κόρυν καὶ αἰγίδα καὶ τὴν τῆς Ἀφροδίτης χάριν.

19.

Ὁ μὲν οὖν Πάρις ἐν θαύματι ἦν τῆς θέας, ὁ δ' Ἑρμῆς „ὦ Πάρι", ἔφη, „ὑμεῖς μὲν οἱ ἄνθρωποι πολλάκις ἤδη δι' Ἔριν τὴν θεὰν ἐστασιάσατε καὶ ἐκινδυνεύσατε. Νῦν δὲ καὶ ἐν ἡμῖν ἔχθραν ἐφύτευσεν· ἐν γὰρ τῷ Θέτιδος γάμῳ, οὗ ἐκωλύσαμεν αὐτὴν μετέχειν, χρυσοῦν μῆλον εἰς τὰς θεὰς ἔρριψεν, ἐν ᾧ ἐνῆν· „Τῇ καλλίστῃ". Ἥρα μὲν οὖν καὶ Παλλὰς καὶ Ἀφροδίτη ἐστασίασαν ἀλλήλαις περὶ τοῦ μήλου, Ζεὺς δ' οὐ βουλόμενος τὸν ἀγῶνα κρίνειν συνεβούλευσεν αὐταῖς σοὶ ἐπιτρέπειν, ἐμὲ δ' ἐκέλευσε τὰς θεάς σοι προσάγειν". Ὁ δὲ Πάρις ἔλεγεν: „Εὖ γιγνώσκω ὑμᾶς, ὦ θεαί· πολλάκις γὰρ ἐπλησίασα ὑμῖν εὐχόμενος· καλλίστην δ' ὑμῶν τὴν Ἀφροδίτην εἶναι νομίζω". Ἐκείνην δὲ προύκρινεν οὐ μόνον διὰ τὴν χάριν αὐτῆς, ἀλλὰ καὶ διὰ τὴν Ἑλένην. Ἡ γὰρ Ἀφροδίτη καὶ τότε αὐτῷ ἐλπίδα παρεῖχε τῆς Ἑλένης καὶ οὐ πολλῷ ὕστερον συνεργὸς ἦν τῆς ἁρπαγῆς. Οὕτω δὴ ἡ Ἔρις ἐφύτευσε τὰ Τρωϊκά.

20. Die Waffen der Tiere.

1 Τῶν θηρῶν, οὓς πᾶσα ἡ γῆ τρέφει παντοδαπούς,
2 ἄλλοι ἄλλαις ἀρεταῖς διαφέρουσιν. Πᾶσι δὲ καὶ ὅπλα ἐστί,
τὰ μὲν πρὸς τὸ διαφθείρειν, τὰ δὲ πρὸς τὸ ἀμύνεσθαι.
3 Καὶ οἱ μὲν λύκοι καὶ κάπροι τοῖς ὀδοῦσι φοβεροί, οἱ δὲ
ταῦροι τοῖς κέρασιν· τοῖς δὲ λέουσιν οὐ μόνον δεινοὶ
ὀδόντες, ἀλλὰ καὶ ἰσχυροὶ ὄνυχές εἰσιν, ὥστε πάντων
4 τῶν θηρίων προέχουσιν. Οἱ δ' ἔλαφοι καὶ οἱ λαγῳ τοῖς
ἐλαφροῖς ποσὶ τοὺς κύνας ἐκφεύγουσιν· τοῖς δ' ἐλέφασι καὶ
ἵπποις τοῖς ποταμίοις καὶ τοῖς ἄλλοις παχυδέρμοις ἡ τοῦ
5 δέρματος παχύτης ἀντὶ θώρακός ἐστιν. Τῶν δὲ δρακόν-
των οὐκ ὀλίγοι τῷ τῶν ὀδόντων φαρμάκῳ ἐπικίνδυνοι,
τῶν δ' ὀρνίθων οἱ μὲν τοῖς τ' ὄνυξι καὶ στόμασιν, οἱ δὲ ταῖς
6 πτέρυξι φοβεροὶ γίγνονται. Αἱ δ' ἀράχναι δόλῳ τὴν λείαν
καταλαμβάνουσιν· ὑφαίνουσι γὰρ ὑφάσματα λεπτά, οἷς
περιπλέκονται αἱ μυῖαι.

Iason und Medeia.

21.

1 Ἰάσων καὶ οἱ ἄλλοι Ἀργοναῦται διὰ τοῦ Εὐξείνου
2 πόντου πλέοντες πολλοὺς κινδύνους ἐκινδύνευσαν. Ἐπειδὴ
δ' εἰς τὴν Κολχίδα ἦκον, Αἰήτης ἐκέλευσε τὸν Ἰάσονα τοὺς
χαλκόποδας ταύρους ὑπὸ τὸ ζυγὸν ἄγειν καὶ δράκοντος
3 ὀδόντας σπείρειν. Μήδειαν δέ, τὴν Αἰήτου παῖδα, ἔρως
λαμβάνει τοῦ ξένου καὶ φόβος, μὴ διαφθείρηται ὑπὸ τῶν
4 ταύρων. Φάρμακον οὖν παρασκευάσασα κελεύει αὐτὸν
5 τήν τ' ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα χρίειν. Οὕτω γὰρ
ἔφη τοὺς ταύρους οὔτε τοῖς ποσὶν οὔτε τοῖς πῦρ πνέουσι
6 στόμασιν αὐτὸν βλάψειν. Τοῖς δὲ τοῦ δράκοντος ὀδοῦσιν,
οὓς ἔσπειρεν ὁ Ἰάσων, θαυμαστόν τι σπέρμα ἐνῆν· μετὰ

γὰρ τὸν σπόρον γίγαντες εὐθὺς ἐν ὅπλοις ὄντες ἐκ τῆς γῆς
ἐφύοντο. Καὶ οἱ μὲν πάντες δμοῦ τῷ Ἰάσονι ἐπεφέροντο· 7
ὁ δέ, ὡς συνεβούλευσε Μήδεια, αὐτοὺς διέφθειρε λίθους
βάλλων εἰς μέσον. Ἐρίζουσι γὰρ περὶ τῶν λίθων ἰσχυρὰ 8
μάχη αὐτοῖς ἐγίγνετο, ἐν ᾗ βάλλοντες ἀλλήλους τοῖς δό-
ρασιν ἐφόνευσαν.

22.

Μήδεια δ' ἔλεγε τῷ Ἰάσονι, ὅτι ὁ πατὴρ Αἰήτης οὐχ 1
ἑκὼν ἐπιτρέψει αὐτῷ τὸ χρυσόμαλλον δέρμα εἰς τὴν πατρίδα
κομίζειν. Ἔκλεψεν οὖν νυκτός· Μήδεια γὰρ τὰ ὄμματα 2
καὶ τὰ ὦτα τοῦ δράκοντος τοῦ φυλάττοντος τὸ δέρμα φαρ-
μάκοις καὶ ᾠδαῖς ἔθελξεν. Ἰάσων δὴ καὶ οἱ περὶ αὐτὸν 3
ἔχοντες τὸ δέρμα εὐθὺς ἀπέπλεον ἐκ τῆς Κολχίδος· ἡ δὲ
Μήδεια μετ' αὐτῶν ἔφευγε τὴν τοῦ πατρὸς ὀργήν, τὸν
ἀδελφὸν Ἄψυρτον ἄγουσα. Τῇ δ' ὑστεραίᾳ Αἰήτης, 4
ἀκούσας τήν θ' ἁρπαγὴν τοῦ δέρματος καὶ τὴν τῆς θυγα-
τρὸς φυγήν, μάτην ἐδίωκε τοὺς ἄνδρας. Σὺν Ἀθηναίᾳ 5
γὰρ Ἰάσων πάντας τοὺς συμπλέοντας εἰς τὴν πατρίδα
ἔσῳζεν. Ἐν ᾧ δ' ἀπῆν, Πελίας τῷ τε πατρὶ καὶ τῇ 6
μητρὶ αὐτοῦ ἀεὶ ἐπεβούλευεν, ὥστε τέλος αὐτοὶ ἑαυτοὺς
ἐφόνευσαν. Μήδεια οὖν ταῖς τοῦ Πελίου θυγατράσιν 7
ἐλπίδα παρέχουσα φαρμάκοις τῷ πατρὶ τὴν ἥβην ἐπανάξειν,
ἔπεισεν αὐτὰς τὸ τοῦ γέροντος σῶμα κατατέμνειν καὶ ἕψειν.
Καὶ αἱ μὲν πείθονται τῇ Μηδείᾳ καὶ σώσουσαι τὸν πατέρα 8
διαφθείρουσιν· Ἄκαστος δ' ὁ υἱὸς θάψας αὐτὸν τὴν Μή-
δειαν μετὰ τοῦ Ἰάσονος ἐξελαύνει ἐκ τῆς πατρίδος.

23. Die Herrschaft des Menschen über die Tierwelt.

Πολλοὶ μὲν θῆρες ἢ ἰσχύϊ ἢ ἐλαφρότητι ἢ ἄλλαις 1
ἀρεταῖς τῶν ἀνθρώπων προέχουσιν· οἱ δὲ σοφίᾳ καὶ τέχνῃ

ἄρχουσι πάντων. Οἱ γὰρ βόες καὶ σύες καὶ ἵπποι καὶ κύνες πάλαι μὲν ἄγριοι ἦσαν καὶ τοῖς ἀνθρώποις ἐπικίνδυνοι· νῦν δ' αὐτοῖς δουλεύουσιν οὐκ ἄκοντες. Καὶ τὰς μὲν βοῦς τοῦ τε γάλακτος ἕνεκα τρέφομεν καὶ ἵνα ὑπὸ τὸ ζυγὸν ἄγωμεν· σῦς δὲ καὶ οἷς ἐν σταθμοῖς καὶ ἐν λειμῶσι παίνομεν, ἵνα τροφὴν ἡμῖν παρέχωσιν· τῶν τε γὰρ συῶν καὶ τῶν οἰῶν καὶ τῶν βοῶν ἡ σὰρξ τιμία ἐστίν. Οἱ δ' ἵπποι ἅρματά τ' ἐλαύνουσι καὶ πρὸς τὸ ἱππεύειν ἀγαθοί εἰσιν· οἱ δὲ κύνες διὰ τὴν τῶν ῥινῶν ὀξύτητα καὶ τὴν τῶν ποδῶν ἐλαφρότητα πρὸς τὴν θήραν χρήσιμοι. Καὶ δὴ καὶ τοῖς ἐν τῷ ὕδατι ἰχθύσιν ἐπιβουλεύομεν καὶ λαμβάνομεν αὐτοὺς δικτύοις καὶ ἀγκίστροις.

Aus dem thebanischen Sagenkreise.

24.

Λαΐου, τοῦ τῶν Θηβαίων βασιλέως, καὶ Ἰοκάστης γίγνεται παῖς Οἰδίπους. Ὁ δὲ Λάϊος, κακὴν μοῖραν φεύγων, τὸν Οἰδίποδα νεόγονον ἔτι ὄντα νομεῦσιν ἐπιτρέπει διαφθείρειν. Ἦν γὰρ αὐτῷ Ἀπόλλωνος, τοῦ ἐν Δελφοῖς μάντεως χρησμὸς λέγων τὸν παῖδα ἔσεσθαι τοῦ μὲν πατρὸς φονέα, τῆς δὲ μητρὸς ἄνδρα. Οἱ δὲ νομεῖς τὸν Οἰδίποδα εἰς τὸν Κιθαιρῶνα φέρουσιν, τἄλλα τοῖς θηρίοις ἐπιτρέποντες. Τῶν δὲ Πολύβου, τοῦ Κορινθίων βασιλέως, νομέων τις εὑρίσκει τὸ παιδίον καὶ εἰς Κόρινθον κομίζει. Ἐπειδὴ δ' εἰς τὴν πόλιν ἥκει, Μερόπη ἡ βασίλεια, ἄπαις οὖσα, δέχεται τὸν παῖδα καὶ τρέφει πάσῃ ἐπιμελείᾳ. Πολλῷ δὲ χρόνῳ ὕστερον Οἰδίπους ἐρίζει ποτὲ τοῖς ἑταίροις· τῶν δέ τις λέγει δι' ὕβρεως Πόλυβον καὶ Μερόπην αὐτῷ οὐκ εἶναι γονέας. Ὁ δέ, ὀργιζόμενος τῇ ἐκείνου ὕβρει, πρὸς τὸν τροφέα Πόλυβον καταφεύγει, βουλόμενος πᾶσαν τὴν

ἀλήθειαν περὶ τῶν γονέων ἀκούειν. Ὁ δὲ τὴν μὲν τοῦ 9
Οἰδίποδος ὀργὴν προφάσεσι παύει, ἐκεῖνον δὲ χαλεποῖς
λόγοις κολάζει ὡς ἄνθρωπον διάβολον ὄντα. Ὁ δ' Οἰδί- 10
πους, οὐ πιστεύων τῷ τροφεῖ, κρύφα αὐτοῦ τε καὶ τῆς
μητρὸς εἰς Δελφοὺς πορεύεται ὡς μαντευσόμενος.

25.

Ὁ δὲ θεὸς βαρεῖάν τε τύχην καὶ μεγάλ' ἀδικήματ' 1
αὐτῷ μαντεύεται, λέγων διὰ βραχέων, ὥσπερ καὶ τῷ
πατρί, ἔσεσθαι αὐτὸν καὶ τοῦ πατρὸς φονέα καὶ τῆς μητρὸς
ἄνδρα. Ἐκεῖνος οὖν, νομίζων Πόλυβον καὶ Μερόπην λέ- 2
γεσθαι, φεύγει τὴν Κόρινθον· μετ' οὐ πολὺν δὲ χρόνον
διὰ τῆς Φωκίδος πορευόμενος τῷ πατρὶ Λαΐῳ ἐπιτυγχάνει
ἐφ' ἅρματος ἐλαύνοντι. Τῆς δ' ὁδοῦ οὐκ εὐρείας οὔσης ὁ 3
μὲν τοῦ ἅρματος ἡγεμὼν ἐκποδὼν ἐλαύνει τὸν ξένον, αὐτὸς
δ' ὁ γέρων ὀξεῖ κέντρῳ τὴν κεφαλὴν αὐτοῦ παίει. Ἐν- 4
ταῦθ' Οἰδίπους — θρασύς τε γὰρ ἦν καὶ ὀξὺν εἶχε θυ-
μόν — διὰ τραχείας ὀργῆς τόν τε Λάϊον καὶ τοὺς περὶ
αὐτὸν ἀποκτείνει. Οὐ πολὺ δ' ὕστερον εἰς τὴν Βοιωτίαν 5
ἥκων πυνθάνεται μέγα κακὸν τοὺς Βοιωτοὺς πιέζειν. Ἥρα 6
γὰρ ὀργιζομένη αὐτοῖς ἔπεμψε Σφίγγα, δεινὸν τέρας, κε-
φαλὴν μὲν ἔχον παρθένου, πτέρυγας δ' ὄρνιθος, τὸ δ' ἄλλο
σῶμα λέοντος. Ἡ δὲ Σφὶγξ ἐπὶ τῇ ἀκροπόλει καθεζομένη 7
πολλοὺς τῶν Θηβαίων διέφθειρεν.

26.

Ἀνθρωπίνων γὰρ κρεῶν ὀρεγομένη πᾶσι τοῖς πορευο- 1
μένοις τόδε τὸ αἴνιγμα προύβαλλεν· „Τί ἐστιν, ὃ μίαν ἔχον
φωνὴν τετράπουν καὶ δίπουν καὶ τρίπουν γίγνεται;“ Καὶ 2
οὐδενὸς ἔχοντος τὸ αἴνιγμα λύειν, ἡ Σφὶγξ πάντας κατέ-
πινεν. Κρέων δέ, ὁ Ἰοκάστης ἀδελφός, ὃς μετὰ τὸν Λαΐου 3

Научная библиотека Горького при ЛГУ

θάνατον τὴν ἀρχὴν εἶχεν, βαρέως φέρων τὴν τῆς πόλεως συμφορὰν μεγάλα γέρα παρεῖχε τῷ λύσοντι τὸ αἴνιγμα, κηρύττων οὐ μόνον τὴν βασιλείαν, ἀλλὰ καὶ τὴν Ἰοκάστην αὐτοῦ ἔσεσθαι. Οἱ γὰρ μάντεις ἔλεγον τῇ τοῦ αἰνίγματος λύσει τὴν τῆς Σφιγγὸς ὕβριν παύσεσθαι. Οἰδίπους οὖν, ἀκούσας τὰ περὶ τὴν Σφίγγα, εἰς τὴν ἀκρόπολιν ἀναβαίνει καὶ ταχέως λύει τὸ αἴνιγμα, τὸν ἄνθρωπον λέγεσθαι γιγνώσκων. Νεόγονον μὲν γὰρ ὄντα αὐτὸν τοῖς τετράποσιν ὅμοιον ἕρπειν, ἔπειτα βαίνειν δίποδα, ἐν δὲ τῷ γήρᾳ σκῆπτρον προσλαμβάνειν καὶ τρίποδα γίγνεσθαι. Μετὰ δὲ τοῦτο ἡ μὲν Σφὶγξ κατὰ τῆς ἀκροπόλεως φέρεται, ὁ δ' Οἰδίπους τυγχάνει τῶν τοῦ Κρέοντος γερῶν, τήν τε τῶν Θηβαίων ἀρχὴν καταλαμβάνων καὶ τὴν μητέρα Ἰοκάστην ἐπὶ γάμῳ ἄγων.

27.

Μετὰ δὲ ταῦτα Οἰδίπους ἔτη πολλὰ τῶν Θηβαίων ἦρχεν, κράτει καὶ πλούτῳ πάντων τῶν ἄλλων βασιλέων διαφέρων. Ἦσαν δ' αὐτῷ παῖδες τέτταρες, Ἐτεοκλῆς καὶ Πολυνείκης καὶ Ἀντιγόνη καὶ Ἰσμήνη, ὧν οἱ μὲν υἱεῖς ἰσχύϊ καὶ θάρρει, αἱ δὲ θυγατέρες χάριτι καὶ κάλλει προεῖχον. Καὶ παρὰ τοῖς πολίταις ἐν μεγάλῃ τιμῇ ἦν· δι' αὐτὸν γὰρ ἐν εὐδαιμονίᾳ καὶ ἡσυχίᾳ διῆγον. Ὤιετο οὖν, ἐπ' ἄκρῳ ὢν τῆς εὐτυχίας, ψεύδη εἶναι τὰ τοῦ Ἀπόλλωνος μαντεῖα. Πολλοῖς δ' ἔτεσιν ὕστερον ἐξαίφνης δεινὴ νόσος, πλῆθος ἀνθρώπων καθ' ἡμέραν διαφθείρουσα, ἐμπίπτει τοῖς Θηβαίοις. Μαντευομένους δ' Ἀπόλλων κελεύει τὴν πόλιν καθαίρειν τοῦ ἐν τοῖς τείχεσι κακούργου· οἱ δέ, ἅτε οὐκ ἔχοντες μηχανὴν τοῦ κακοῦ, πρὸς τὸν βασιλέα καταφεύγουσιν. Ὁ δ' Οἰδίπους — οὐ γὰρ ὑπώπτευε τὸ μέγεθος τὸ τῶν μελλόντων παθῶν — Τειρεσίαν τὸν μάντιν μεταπέμπεται, τυφλὸν ὄντα.

28.

Ὁ δέ, οὐ βουλόμενος τὰ ἀσεβῆ τοῦ βασιλέως ἔργα φαίνειν, πολὺν χρόνον σιγὴν εἶχεν· τέλος δ' ὀργιζομένου τοῦ Οἰδίποδος ἔλεγε τάδε· „Ὦ Οἰδίπου, πρότερον μὲν εὐτυχὴς ὢν ἠτίμαζες τοὺς τῶν θεῶν χρησμούς, ὡς ψευδεῖς ὄντας· νῦν δ' οὐκέτι ἐν ἀσφαλεῖ ὢν πιστεύεις τοῖς μάντεσι καὶ κελεύεις με φαίνειν τἀληθῆ. Τὰ δὲ μέλλοντα οὔτε σοὶ οὔτε τοῖς συγγενέσιν ἡδέα, ἀλλὰ λύπης καὶ φόβου πλήρη. Μὴ οὖν μ' ἀναγκάσῃς λύειν τὴν σιγήν, ἵνα μὴ αὐτοὶ σπεύσωμεν τὰ κακά· ταχέως γὰρ ἥξει.“ Ταῦτ' ἀκούσας ὁ βασιλεὺς ὠνείδισε τῷ γέροντι, λέγων κενὴν εἶναι καὶ ψευδῆ πᾶσαν τὴν μαντικήν. Τότε δὴ ὁ Τειρεσίας φαίνει τὴν ἀλήθειαν· καὶ ἡ μὲν Ἰοκάστη αὐτοχειρίᾳ ἀποθνῄσκει, ὁ δ' Οἰδίπους αὐτὸς ἑαυτοῦ ἐκκόπτει τὼ ὄμματε. Καὶ οἱ μὲν υἱεῖς τὸν τυφλὸν πατέρα ἐκ τῆς χώρας ἐξελαύνουσιν· Ἀντιγόνη δ' οὐ καταλείπει αὐτόν, ἀλλ' ἄγει εἰς Κολωνὸν τῆς Ἀττικῆς. Ἐκεῖ ὁ γέρων Θησέα πείθει ἀσφαλῆ καταφυγὴν ἑαυτῷ παρέχειν, καὶ οὐ πολὺ ὕστερον ἡδέος τυγχάνει θανάτου.

29.

Οἱ δὲ τοῦ Οἰδίποδος υἱεῖς πρῶτον μὲν κοινῇ τῶν Θηβαίων ἐβασίλευσαν· μετ' οὐ πολὺν δὲ χρόνον νείκους ἦρξε Πολυνείκης πρὸς Ἐτεοκλέα, ὁ δὲ τὸν Πολυνείκη ἠνάγκασε φεύγειν. Τὸν δὲ φυγάδα δέχεται Ἄδραστος, ὁ τῶν Ἀργείων βασιλεύς, καὶ συνοικίσας αὐτῷ τὴν θυγατέρα πολλὴν δύναμιν ἡρώων ἀθροίζει, ὡς τὸν γαμβρὸν κατάξων εἰς τὴν πατρίδα. Καὶ τοὺς μὲν ἄλλους ἥρωας οὐ χαλεπῶς ἔπεισε συστρατεύειν, Ἀμφιάρεως δ' ὁ μάντις οὐκ ἔφη ἐκπορεύσεσθαι, κακὴν τῆς στρατείας τελευτὴν μαντευόμενος. „Σὺ μέν,“ ἔφη, „ὦ Ἄδραστε, οὐ σαυτοῦ, ἀλλὰ Πολυνείκους

ἕνεκα τὴν εἰς Θήβας στρατείαν παρασκευάζῃ. Ἀλλὰ παῦσον
τὴν τοῦ γαμβροῦ ἐπιθυμίαν· ἑαυτὸν γὰρ ἅμα τῷ ἀδελφῷ
μέλλει διαφθείρειν. Ὑμεῖς δέ, ὦ ἄνδρες, φροντίσατε
ὑμῶν αὐτῶν καὶ ἄλλαις πόλεσιν ἐπιστρατεύσατε, δόξαν
καὶ τιμὴν διώκοντες. Οὐ γὰρ μαντεύομαι οὔτε σοί, ὦ
Πολύνεικες, τὴν κάθοδον οὔτ' ἐμαυτῷ καὶ ὑμῖν τοῖς
ἄλλοις καλὴν τύχην, ἀλλ' ἀκλεᾶ θάνατον."

30.

Πολυνείκης δέ, τὸν καλὸν τῆς Ἁρμονίας ὅρμον ἔχων,
Ἐριφύλην, τὴν τοῦ Ἀμφιάρεω γυναῖκα, ἔπεισε τὸν ἄνδρα
εἰς τὴν στρατείαν παροξύνειν. Ἡ δὲ γυνὴ δέχεται τὸ
δῶρον καὶ τὸν Ἀμφιάρεων ἡδέσι λόγοις πείθει τοῖς ἄλλοις
συστρατεῦσαι. Μετὰ δὲ ταῦτα ἑπτὰ ἄρχοντες πάσῃ δυ-
νάμει ταῖς ἑπτὰ τῶν Θηβῶν πύλαις ἐπεφέροντο· Ἄδραστος
μετὰ τῶν γαμβρῶν, Πολυνείκους καὶ Τυδέως, καὶ Καπα-
νεὺς καὶ Ἱππομέδων καὶ Παρθενοπαῖος καὶ Ἀμφιάρεως. Ὁ
δὲ Καπανεύς, Ἄρει ὅμοιος ὢν ἰσχὺν καὶ ὕβριν, ἤδη τῶν
τειχῶν ἐπέβαινε καὶ αὐτῷ τῷ Διὶ ὀνειδίζων „καὶ σοῦ
ἄκοντος," ἔφη, „ὦ Ζεῦ, ταῖς ἐμαῖς χερσὶ τὴν Καδμείαν
καταλύσω." Ἀλλ' ὁ Διὸς σκηπτὸς ἐξαίφνης παύων τοὺς
ἀσεβεῖς λόγους τόν τε Καπανέα διαφθείρει καὶ νίκην παρ-
έχει τοῖς Θηβαίοις. Ἐτεοκλῆς μὲν γὰρ καὶ Πολυνείκης
φονεύουσιν ἀλλήλους, τὸν δ' Ἀμφιάρεων Ζεὺς σκηπτῷ
σχίσας τὴν γῆν ἀφανίζει φεύγοντα. Τῶν δ' ἄλλων τῶν
περὶ τὸν Ἄδραστον οὐδεὶς ἐκφεύγει τὸν θάνατον πλὴν
Ἀδράστου, ὃς τῷ τοῦ ἵππου τάχει σῴζεται.

31.

Μετὰ δὲ τὸν Ἐτεοκλέους θάνατον Κρέων αὖθις τῶν
Θηβαίων ἦρξεν· καὶ τὰ μὲν τῶν πολιτῶν σώματα εὐθὺς

ἐκέλευσε κομίσασθαι, τὰ δὲ τῶν πολεμίων τοῖς κυσὶ καταλείπειν ἄταφα. Καὶ γὰρ κήρυκα πέμψας προηγόρευε τάδε· 2
„Ἐτεοκλέα μὲν καὶ τοὺς περὶ αὐτὸν Κρέων καὶ τάφου καὶ μνήμης καλῆς ἀξίους εἶναι νομίζει, ὅτι ἀνδρείως μαχόμενοι τὴν πατρίδα ἔσωσαν· παρασκευάσασθε οὖν, ὦ ἄνδρες πολῖται, ἕκαστον αὐτῶν θάψαι καλῶς. Πολυνείκει 3
δὲ μήτε τάφον μήτ' ἄλλην χάριν χαρίσησθε· ἀλλοτρίους γὰρ ἄνδρας συλλεξάμενος ἐπὶ τὴν ἡμετέραν πόλιν ἐστρατεύσατο, βουλόμενος διαρπάζειν αὐτὴν καὶ πυρὶ διαφθείρειν. Ὅταν δ' ὑμῶν τις ἅψηται ἐκείνου ὡς θάψων, 4
θάνατον αὐτῷ προαγορεύει Κρέων." Ἡ δ' Ἀντιγόνη οὐκ 5
ἐφρόντισε τοῦ τυράννου, ἀλλὰ νυκτὸς κλέψασα τὸ τοῦ ἀδελφοῦ σῶμα ἔθαψεν.

32.

Εἷς δὲ τῶν φυλάκων τῷ Κρέοντι ἀγγέλλει τὸ πρᾶγμα· 1
ὁ δὲ τὴν Ἀντιγόνην μεταπεμψάμενος χαλεποῖς λόγοις ὀνειδίζει αὐτῇ. Ἀλλ' ἐκείνη θρασέως ἀντιλέγουσα „τοὺς 2
μὲν ἄλλους," ἔφη, „ὦ Κρέον, πάντας τῷ δεινῷ κηρύγματι ἐβιάσω, ὥστε μηδένα αὐτῶν ἀπειθῶς σοι ἔχειν· ἐμὲ δὲ
μόνην οὐδεμιᾷ ζημίᾳ ἐκώλυσας τῷ ἀδελφῷ χαρίσασθαι. Σαυτὸν γὰρ ἐψεύσω, ἐλπίζων φόβῳ θανάτου με τῆς πρὸς 3
ἐκεῖνον πίστεως παύσειν, ἣ μ' ἐκέλευε θάπτειν αὐτόν. Οὐδεμία γὰρ ἐν Ἅιδου ἔχθρα, καὶ ἴσης τιμῆς τὸ ἀδελφὼ 4
ἀξίω εἶναι νομίζω, ἐπεὶ ἐκ μιᾶς μητρὸς ὄντε δεινῇ ἔριδι ἐφονευσάτην ἀλλήλω." Ἐνταῦθ' ὁ Κρέων, ὡς εἶχεν ὀργῆς, 5
ἐκέλευσεν αὐτὴν ζῶσαν κατορύττειν. Αἵμων δέ, ὁ Κρέοντος υἱός, νυμφίος ὢν τῆς Ἀντιγόνης, ἐπειδὴ ἤκουσε τὰ 6
περὶ τὴν τῆς νύμφης τελευτήν, οὐκέτι ἐβούλετο βλέπειν τὸ φῶς, ἀλλ' αὐτὸς ἑαυτὸν ἐπὶ τῷ τάφῳ ἐφόνευσεν.

Die erste Umschiffung Afrikas.

33.

1 Νεκῶς, ὁ Αἰγυπτίων βασιλεύς, οὐ μόνον κατὰ γῆν
μεγάλην δύναμιν παρεσκευάσατο, ἀλλὰ καὶ τῇ ναυτικῇ τὸν
νοῦν προσέχων Φοίνικας ἄνδρας μετεπέμψατο, ὅπως τοὺς
Αἰγυπτίους τήν τε τῶν τριήρων καὶ τὴν τῶν ἄλλων νεῶν
2 ναυπηγίαν διδάσκοιεν. Ἐβουλεύσατο δὲ καὶ τὸν ἰσθμὸν
τὸν μεταξὺ τῆς Λιβύης καὶ τῆς Ἀσίας διορύττειν, ἵνα ταῖς
ναυσὶ διέκπλουν παρέχοι ἐκ τοῦ Ἀραβίου κόλπου εἰς
3 τὴν πρὸς βορρᾶν θάλατταν. Ἐν νῷ γὰρ εἶχεν ἄνδρας
πέμπειν ἐπὶ νεῶν, ἵνα διὰ τῆς διώρυχος ἀεὶ πρὸς μεσημ-
βρίαν πλέοντες τὸν τῆς Λιβύης περίπλουν εὑρίσκοιεν.
4 Ἐπαύσατο δὲ τοῦ ἔργου καὶ βαρέως φέρων, ὅτι πολλοὶ ἀεὶ
ἄνθρωποι διεφθείροντο ὀρύττοντες, καὶ μαντείῳ τινὶ πει-
5 θόμενος ἀπαγορεύοντι μὴ προεργάζεσθαι βαρβάρῳ. Πολλῷ
δὲ χρόνῳ ὕστερον Δαρεῖος ὁ Ὑστάσπου ἐκέλευσεν ἐπὶ τέλος
ἄγειν τὴν διώρυχα· ἦν δ' οὕτως εὐρεῖα, ὥστε δύο τριήρεις
6 ἐρεττομένας ὁμοῦ διελαύνειν. Ὁ δὲ Νεκῶς παυσάμενος τῆς
διώρυχος ὅμως τῷ τῆς Λιβύης περίπλῳ προσεῖχε τὸν νοῦν
καὶ μεταπεμψάμενος τοὺς Φοίνικας, ἵνα ἐξετάζοι αὐτῶν
τὴν γνώμην, ἔλεγε τάδε.

34.

1 „Πολὺν ἤδη χρόνον ἐλογισάμην, ὦ ἄνδρες, ὅτι πολλὰ
ἂν κερδαίνοιμι, εἴ μοί τις περίπλουν εὑρίσκοι τῆς Λι-
2 βύης· ἁπλῆν δὲ νομίζω τὴν πρᾶξιν εἶναι. Τί γὰρ ἂν
ὑμᾶς κωλύσειεν ἐκείνου τοῦ πλοῦ, ἐπειδὴ πάλαι διὰ τῶν
Ἡρακλείων στηλῶν πλέοντες εἰς τὸν ἔσχατον βορρᾶν ἥκετε;
3 Εἰ οὖν ὑμεῖς ἐθέλοιτε, ἐγὼ ῥᾳδίως ἂν ἐλπίσαιμι τὴν
4 γνώμην διαπράξεσθαι.“ Πείσας δὲ τοὺς Φοίνικας ἔπεμψεν

εἰς τὸν Ἀράβιον κόλπον, ἔνθα πολλαὶ νῆες αὐτῷ ἦσαν. Οἱ δὲ ταχέως πάντα εἰς τὸν πλοῦν παρασκευασάμενοι οὐκ ἔμελλον ἀνάγεσθαι· ὁπότε δὲ τῶν ἐπιτηδείων σπανίσειαν — τριῶν γὰρ ἐτῶν ἦν ὁ πλοῦς — ἐξέβαινον ἐκ τῶν νεῶν καὶ ἔσπειρον τὴν γῆν καὶ θερίσαντες τοὺς καρποὺς εἰς τὰς ναῦς ἐκόμιζον. Οὕτω δὴ πρῶτον μὲν ἀεὶ πρὸς μεσημβρίαν, ἔπειτα δὲ πρὸς βορρᾶν πλέοντες τρίτῳ ἔτει διὰ τῶν Ἡρακλείων στηλῶν εἰς τὴν Αἴγυπτον ἦκον. Τῷ δὲ βασιλεῖ πολλὴν ἡδονὴν παρεῖχον τὰ περὶ τὸν πλοῦν λέγοντες· μάλιστα δ' ἐθαύμασεν ἀκούων, ὅτι περιπλέοντες τὸν ἥλιον ἐν δεξιᾷ ἔχοιεν.

Kambyses und die Aithioper.

35.

Καμβύσης ὁ Κύρου, ἵνα πρὸς τοὺς Αἰγυπτίους στρα- 1
τεύοιτο, πρόφασιν κατασκευάσαι λέγεται, ὅτι αὐτῷ Ἄμα-
σις, ὁ τῶν Αἰγυπτίων βασιλεύς, οὐ τὴν θυγατέρα, ἣν ἐπὶ
γάμῳ ἄγειν ἐβούλετο, ἀλλ' ἄλλην γυναῖκα πέμψειεν. Κα- 2
ταστρεψάμενος δὲ τοὺς Αἰγυπτίους παρεσκευάσατο καὶ τοῖς
Αἰθίοψιν ἐπιστρατεῦσαι. Πρὶν δ' ἐκπορεύεσθαι Ἰχθυο- 3
φάγους ἄνδρας μετεπέμψατο, ἐμπείρους ὄντας τῆς τῶν
Αἰθιόπων γλώττης, ἵνα τά τ' ἄλλα πυνθάνοιντο καὶ τὰ
περὶ τὴν Ἡλίου τράπεζαν. Ἡλίου δὲ τράπεζαν οἱ Αἰθίοπες 4
ἔλεγον μέγαν λειμῶνα, πλήρη ὄντα παντοδαπῶν κρεῶν, ἃ
νυκτὸς μὲν οἱ ἄρχοντες εἰς τὸν λειμῶνα ἔφερον, ἡμέρας
δ' ἥσθιον οἱ βουλόμενοι. Τὸ δὲ πλῆθος ὤετο τὰ κρέα 5
ἐκ τῆς γῆς ἀεὶ ἀνατέλλειν. Διέφερον δ' οἱ Αἰθίοπες με- 6
γέθει καὶ κάλλει πάντων τῶν ἀνθρώπων, μάλιστα δ' ὁ
βασιλεὺς αὐτῶν, ὃς οὐ γένει ἢ πλούτῳ ἢ φρονήσει ἐπρώ-
τευεν, ἀλλὰ τῇ τοῦ σώματος ἰσχύϊ καὶ μεγέθει. Ἐπειδὴ 7

δ' οἱ σκοποὶ πρὸς τὸν βασιλέα ἦκον φέροντες τὰ Καμβύσου δῶρα, πορφυρᾶν ἐσθῆτα καὶ χρυσοῦν στρεπτὸν καὶ ἐρυθρὸν οἶνον καὶ ἄλλα πολλά, ἔλεγον τάδε.

36.

1 „Ὦ βασιλεῦ, ἐπεμψεν ἡμᾶς Καμβύσης ὁ τῶν Περσῶν
βασιλεὺς φιλίας ἕνεκα· εἰ δὲ δέξαιο καὶ τάδε τὰ δῶρα
καὶ τὴν Καμβύσου φιλίαν, κἂν ἄλλα πολλά σοι χαρί-
2 σαιτο“. Ὁ δ' Αἰθίοψ ὑποπτεύων, διὰ τί ἦκοιεν ἐκεῖνοι,
„οὐκ ἀληθῆ,“ ἔφη, „λέγετε, ὦ ἄνδρες, σκοποὶ γὰρ ἥκετε
3 παρὰ τοῦ τῶν Περσῶν βασιλέως, οὐ φιλίας ἕνεκα. Ὁ δ'
οὐ δίκαιός ἐστιν ἀνήρ, ὅτι βούλεται τοὺς Αἰθίοπας κατα-
στρέψασθαι. Ἆρ' οὐκ οἴεσθε χαλεπῶς ἂν φέρειν αὐτόν,
4 εἰ ἐγὼ βουλοίμην αὐτῷ ἐπιστρατεύειν; Νῦν δὲ τὸ τόξον
5 φέρετε αὐτῷ, ὃ ἐν ταῖς χερσὶν ἔχω, λέγοντες τάδε· „„Βα-
σιλεὺς ὁ Αἰθιόπων συμβουλεύει τῷ Περσῶν βασιλεῖ, ἐὰν
μὲν οἱ Πέρσαι δυνατοὶ ὦσι τείνειν τὸ τόξον, τότ' ἐπιστρα-
τεύειν Αἰθίοψι τοῖς μακροβίοις, εἰ δὲ μή, χάριν ἐχόντων
Διΐ, ὅτι οἱ Αἰθίοπες οὐ πάλαι ἐστρατεύσαντο ἐπ' αὐτούς.
6 Τῶν δὲ δώρων μόνον τὸν οἶνον δέχομαι, ἡδὺς γάρ ἐστι
πίνειν, τὰ δ' ἄλλα ἀτιμάζω, ὑμεῖς δ' ἂν ἥδοισθε ἔχοντες
7 αὐτά.““ Ὁ δὲ Καμβύσης ἀκούσας τὸν τοῦ Αἰθίοπος λόγον
οὐκ ἐπαύσατο τῆς παρασκευῆς, ἀλλὰ πολὺ στράτευμα ἀθροί-
8 σας ἐπορεύετο εἰς τὴν Αἰθιοπίαν. Πορευόμενοι δὲ διὰ
τῆς ἐρημίας οἱ Πέρσαι λιμῷ καὶ δίψῃ οὕτως ἐπιέζοντο,
ὥστε Καμβύσην παυσάμενον τῆς στρατείας ὀπίσω πο-
ρεύεσθαι.

Kroisos und Solon.

37.

Κροῖσος, ὃς μετ᾽ Ἀλυάττην τῶν Λυδῶν ἐβασίλευσεν, 1
πάντων τῶν τότε βασιλέων δυνατώτατός τε καὶ πλου-
σιώτατος εἶναι ἐνομίζετο. Στράτευμα μὲν γὰρ εἶχε πο- 2
λεμικώτατον καὶ ἀνδρειότατον, πόλεις δ᾽ εὐδαιμονεσ-
τάτας καὶ πολυανθρωποτάτας, φόροι δ᾽ ἀπεπέμποντο
αὐτῷ ἀφθονώτατοι. Ἐπειδὴ δὲ φιλοξενώτερός τε καὶ 3
ἐλευθεριώτερος πάντων τῶν τότε βασιλέων ἦν, πολλοί
τ᾽ ἄλλοι σοφοὶ ἄνδρες εἰς Σάρδεις ἦκον καὶ δὴ καὶ Σόλων,
ἐνδοξότατος τότ᾽ ἤδη ὤν· ἔγραψε γὰρ τοῖς Ἀθηναίοις
τοὺς νόμους. Ὁ δὲ Κροῖσος εὐνούστατα ἐδέξατο αὐτὸν 4
καὶ λαμπρότατα ξενίσας ἐκέλευσε τοὺς θεράποντας τὸν
ξένον περιάγειν κατὰ τοὺς θησαυρούς, οὓς εἶχε μεστοὺς
ὄντας πολυτελεστάτων χρημάτων. Ἔπειτα δ᾽ ἔλεγε τάδε· 5
„Ὦ ξένε Ἀθηναῖε, ἀκούω σὲ καὶ σοφώτερον καὶ ἐμ-
πειρότερον εἶναι τῶν ἄλλων ἀνθρώπων, ὅτι ἐκ πολλοῦ
χρόνου πᾶσαν τὴν γῆν διεπορεύου. Νῦν οὖν λέγε μοι, 6
τίς πάντων τῶν ἀνθρώπων εὐδαιμονέστατός ἐστιν;
Πολὺν γὰρ ἤδη χρόνον γιγνώσκειν αὐτὸν βούλομαι.“
Ἐνόμιζε δ᾽ αὐτὸς εἶναι εὐδαιμονέστατος. 7

38.

Σόλων δ᾽ οὐ τὰ ἡδίω, ἀλλὰ τὰ ἀληθέστερα προ- 1
κρίνων Τέλλον ἔλεγεν Ἀθηναῖον, καὶ θαυμάσαντος τοῦ
Κροίσου εἶπεν· „Τέλλος γὰρ ἦν χρηστότατος ἀνὴρ καὶ 2
παῖδες ἦσαν αὐτῷ καλοὶ κἀγαθοὶ καὶ ἔκγονοι ὑγιεῖς καὶ
λαμπροτάτη ἡ τοῦ βίου τελευτή. Μαχόμενος γὰρ ἀν- 3
δρειότατα τοῖς πολεμίοις αὐτὸς μὲν οὐκ ἔσωζε τὴν ψυχήν,
οἱ δὲ πολῖται ἔθαψάν τ᾽ αὐτὸν κάλλιστα καὶ οὐδένα

πώποτ' ἐν μείζονι τιμῇ εἶχον." Ὁ δὲ Κροῖσος θαυμάσας τὸν λόγον „τίνα δέ," ἔφη, „μετὰ Τέλλον νομίζεις δεύτερον;" Ὁ δ' εἶπεν· „Κλέοβιν καὶ Βίτωνα. Ἐρρωμενέστατοι γὰρ ἦσαν τῶν Ἀργείων καὶ ἐν τοῖς ἀγῶσιν οὐδενὸς χείρους, ἆθλα δ' ἐλάμβανον πλεῖστα καὶ λαμπρότατα. Ἡ δὲ μήτηρ αὐτῶν ἱέρεια ἦν τῆς Ἥρας· καὶ οὔσης ποτὲ ἑορτῆς τῇ θεᾷ τοῖς Ἀργείοις καὶ ἀνάγκης οὔσης τὴν μητέρα ἐφ' ἁμάξης κομίζεσθαι εἰς τὸ ἱερόν, οἱ βόες οὐ παρῆσαν ἐκ τοῦ ἀγροῦ. Οἱ δὲ νεανίαι, αὐτοὶ ἐλαύνοντες τὴν ἅμαξαν σταδίους πέντε καὶ τετταράκοντα, ὡς τάχιστα τὴν μητέρα εἰς τὸ ἱερὸν ἐκόμισαν. Ἀρίστη δ' ἦν αὐτοῖς ἡ τοῦ βίου τελευτή· ἡ γὰρ μήτηρ ηὔξατο τῇ Ἥρᾳ δῶρον τοῖς παισὶ παρέχειν, ὃ μέγιστόν τε καὶ ἥδιστον νομίζοιτο παρὰ τοῖς ἀνθρώποις. Τοὺς δὲ νεανίας θύσαντας καὶ ἑορτάσαντας μετὰ τῶν πολιτῶν γλυκύτατος καὶ βαθύτατος ὕπνος καταλαμβάνει καὶ οὕτως ἀποθνῄσκουσιν."

39.

Τότε δὴ Κροῖσος, βαρύτερον ἤδη φέρων, ὅτι Σόλων αὐτὸν μέγιστον ὄντα βασιλέα ἥττω νομίζοι ἐκείνων τῶν ἰδιωτῶν „ὦ ξένε Ἀθηναῖε," ἔφη, „τὴν δ' ἐμὴν εὐδαιμονίαν ἐν μείονι τιμῇ ἔχεις ἢ τὴν βραχεῖαν ἐκείνων τύχην;" Ὁ δ' ἔλεγεν· „Ὦ βασιλεῦ, πλοῦτον μὲν ἔχεις πλείω καὶ δύναμιν μείζω τῶν ἄλλων ἀνθρώπων, εὐδαίμονα δ' οὔπω ἄν σε λέγοιμι. Οὐδὲν γὰρ θᾶττον διαφθείρεται ἢ πλοῦτος καὶ δύναμις, ὅτι ἡ Τύχη καὶ αὐτὴ ἀπιστοτάτη ἐστὶ καὶ τοὺς εὐτυχεστάτους πολλάκις ἀφρονεστάτους παρέχει. Ἡ γὰρ ὕβρις, ἣν τρέφει ἡ εὐτυχία, τοῖς ἄφροσιν αἰσχίστων πραγμάτων αἰτία ἐστίν, ὥστε οὐδέν' ἂν εὐδαίμονα λέγοιμι πρὸ τῆς τελευτῆς. Ῥᾷστα δ' ἂν τὴν τῆς Τύχης ἀπιστίαν φεύγοις, εἰ ὡς

σωφρονέστατα φέροις τὴν εὐτυχίαν.“ Ὁ δὲ Κροῖσος 6
τότε μὲν ἀπέπεμψε τὸν Σόλωνα, οὐδ' ἐλαχίστην χάριν
ἔχων· ὕστερον δέ, ὅτε Κῦρος, κρείττων γενόμενος ἐν τῇ
μάχῃ, ἔμελλεν αὐτὸν ζῶντα καταχάειν, ἄμεινον ἔκρινε τὴν
τοῦ Ἀθηναίου γνώμην. Αἴσωπος δ' ὁ ποιητὴς οὐκ ὀρθῶς 7
τότ' ἔψεγε τὸν Σόλωνα λέγων, ὅτι δεῖ τοῖς βασιλεῦσιν ἢ
ὡς ἥκιστα ἢ ὡς ἥδιστα συνεῖναι.

40.

Die persischen Könige.

Δώδεκα βασιλεῖς ἦσαν τῶν Περσῶν· λέγουσι δέ τινες 1
τρισκαίδεκα οὐκ ὀρθῶς, ὅτι Σμέρδις ὁ Μάγος οὐ τῶν
Ἀχαιμενιδῶν, ἀλλ' αὐτὸς δοῦλος ἦν, ὥσπερ οἱ ἄλλοι Πέρσαι.
Καὶ ὁ μὲν πρῶτος αὐτῶν Κῦρος ὁ Καμβύσου ἐβασίλευσεν 2
ἔτη τριάκοντα ἑνὸς δέοντα· ἦν δ' ἡ ἀρχὴ αὐτοῦ εὐκλεε-
στάτη, ὅτι οὐ μόνον τὴν τῶν Περσῶν δουλείαν ἔπαυσε
καταστρεψάμενος τοὺς Μήδους, ἀλλὰ καὶ τὴν Κροίσου
δύναμιν κατέλυσε τῷ ἑνδεκάτῳ ἔτει τῆς βασιλείας. Λέγεται 3
δὲ τὸν βίον καταλῦσαι οὐ καλῶς, τῷ τριακοστῷ ἔτει τῆς
ἀρχῆς πρὸς τοὺς Μασσαγέτας στρατευσάμενος. Ὁ δ' υἱὸς 4
αὐτοῦ Καμβύσης εἶχε τὴν ἀρχὴν ἑπτὰ ἔτη καὶ μῆνας
πέντε· ἄπαιδος δ' ὄντος αὐτοῦ Σμέρδις ὁ Μάγος ὀλίγον
χρόνον ἔψευσε τοὺς Πέρσας, λέγων τοῦ Καμβύσου εἶναι
ἀδελφός. Ἐπειδὴ δὲ τῷ ὀγδόῳ μηνὶ τῆς ἀρχῆς ἑπτὰ 5
ἄνδρες, πρῶτοι ὄντες τῶν Περσῶν, ἐφόνευσαν τὸν Σμέρδιν,
Δαρεῖος ὁ Ὑστάσπου ἦρξε τριάκοντα καὶ ἓξ ἐνιαυτούς· ὁ
δὲ μάτην καὶ τοῖς Σκύθαις καὶ δὶς τοῖς Ἕλλησιν ἐπεστρα-
τεύσατο. Τέταρτος δὲ βασιλεὺς ἦν Ξέρξης ὁ Δαρείου, ᾧ 6
οἱ Πέρσαι εἴκοσιν ἔτη ἐδούλευον, πέμπτος δ' Ἀρτοξέρξης ὁ
υἱὸς αὐτοῦ, ὃν οἱ Ἕλληνες Μακρόχειρα ἔλεγον. Ἀρτοξέρξου 7

δὲ τετταράκοντα ἔτη βασιλεύσαντος τῶν τριῶν υἱέων αὐτοῦ οἱ μὲν δύο, Ξέρξης ὁ δεύτερος καὶ Σογδιανός, ὀλίγον
8 χρόνον εἶχον τὴν ἀρχήν. Τὸν δὲ Σογδιανὸν ὁ τρίτος ἀδελφὸς Δαρεῖος, ὁ λεγόμενος Νόθος, ἄρξαντα μῆνας δύο
9 ἐφόνευσε καὶ αὐτὸς ἐβασίλευεν ἔτη ἐννέα καὶ δέκα. Μετὰ δὲ τὴν τοῦ Νόθου τελευτὴν τοῖν δυοῖν παίδοιν αὐτοῦ ὁ πρεσβύτερος Ἀρτοξέρξης ἐδέξατο τὴν ἀρχὴν καὶ φονεύσας τὸν ἀδελφὸν Κῦρον ἐν τῇ μάχῃ ἐβασίλευεν ἐν ἀσφαλεῖ ἔτη
10 τετταράκοντα καὶ πέντε τὰ πάντα. Ὃς ὃν δέκατον, ὠμότατον ὄντα, καὶ Ἄρσην, τὸν ἔνδέκατον, ἐφόνευσε Βαγόας· τὴν δὲ τοῦ ὑστάτου Δαρείου ἀρχὴν κατέλυσεν Ἀλέξανδρος ὁ Μακεδὼν τριακοσιοστῷ καὶ τριακοστῷ ἔτει
11 πρὸ τῆς Χριστοῦ γενέσεως. Ἦρξαν οὖν οἱ Ἀχαιμενίδαι ἔτη διακόσια καὶ εἴκοσι καὶ ὀκτὼ τὰ πάντα.

Überblick über die Perserkriege.

41.

1 Τρὶς οἱ Πέρσαι ἐπὶ τοὺς Ἕλληνας ἐστρατεύσαντο, ἵνα
2 καταστρέψαιντο τὴν Ἑλλάδα. Καὶ τὸ μὲν πρῶτον Μαρ-δόνιος πολλὰς μὲν ναῦς ἔχων, πολλὰς δὲ πεζῶν μυριάδας
3 πόλεμον ἐπέφερεν αὐτοῖς. Τῶν δὲ νεῶν περιπλεουσῶν τὸν Ἄθων τριακοσίας διέφθειρε βορρᾶς ἄνεμος καὶ ὑπὲρ δύο μυριάδας ἀνθρώπων, τῶν δὲ πεζῶν οἱ Θρᾷκες κατέκοψαν
4 πολλούς. Μαρδόνιον οὖν παύσας τῆς στρατηγίας Δαρεῖος Δᾶτιν καὶ Ἀρταφέρνην ἐκέλευσε τούς τ᾽ Ἀθηναίους καὶ
5 τοὺς Ἐρετριέας καταστρέψασθαι. Οἱ δὲ τὴν στρατιὰν ἑξα-κοσίαις τριήρεσι διαβιβάσαντες πρῶτον μὲν τοὺς Ἐρετριέας ἐν τρισὶν ἡμέραις κατεστρέψαντο, τῇ δὲ τετάρτῃ ἔμελλον
6 τοὺς στρατιώτας εἰς Μαραθῶνα ἐκβιβάζειν. Πρὶν δὲ τοὺς ἱππέας αὐτῶν ἐκβαίνειν, Μιλτιάδης τὰς τῶν Ἀθηναίων

τάξεις δρόμῳ ἐπὶ τοὺς πεζοὺς ἄγει καὶ ἑξακισχιλίους καὶ τετρακοσίους κατακόψας τοὺς λοιποὺς ἐπὶ τὰς ναῦς ἀπελαύνει. Οἱ δ' Ἀθηναῖοι οὐ πλείους ἑκατὸν καὶ ἐνενήκοντα καὶ δύο ἄνδρας ἀπολέσαντες ἦκον εἰς τὸ ἄστυ. 7

42.

Ἐλέγετο δ' ἡ μὲν τῶν Περσῶν στρατιὰ πεντήκοντα μυριάδων ἀνθρώπων εἶναι, οἱ δ' Ἀθηναῖοι ἦσαν ἐνακισχίλιοι ἢ ὡς ἄλλοι λέγουσι μύριοι, καὶ μετ' αὐτῶν ἐν τῷ εὐωνύμῳ κέρᾳ χίλιοι Πλαταιεῖς ἐμάχοντο. Δεκάτῳ 2
δ' ἔτει ὕστερον τῆς ἐν Μαραθῶνι μάχης οἱ Πέρσαι Ξέρξου βασιλεύοντος αὖθις ἐστρατεύσαντο ἐπὶ τὴν Ἑλλάδα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. Καὶ πεζοὺς μὲν ἤθροισε 3
βασιλεὺς κατὰ τὸν Ἡρόδοτον ἑκατὸν καὶ ἑβδομήκοντα μυριάδας, ἱππέας δ' ὀκτακισμυρίους, νεῶς δὲ χιλίας καὶ διακοσίας καὶ ἑπτά. Καὶ κατὰ γῆν μὲν Λεωνίδας 4
καὶ οἱ περὶ αὐτὸν τριακόσιοι Σπαρτιᾶται μεθ' ἑπτακοσίων Θεσπιέων τρεῖς ἡμέρας τῷ τῶν πολεμίων πλήθει ἀντεῖχον, τῇ δὲ τετάρτῃ οἱ Πέρσαι, ὄπισθεν γενόμενοι αὐτῶν τῇ Ἐφιάλτου προδοσίᾳ, κατέκοψαν πάντας. Ἐν δὲ 5
τῇ ἐν Σαλαμῖνι ναυμαχίᾳ οἱ Ἕλληνες νεῶς ἔχοντες τριακοσίας καὶ ὀγδοήκοντα δυοῖν δεούσας τοὺς Πέρσας ἐτρέψαντο. Τῷ δ' ὑστέρῳ ἔτει μιᾷ ἡμέρᾳ δὶς γίγνονται 6
κρείττονες τῶν βαρβάρων, ἐν Πλαταιαῖς τε καὶ ἐν τῇ Μυκάλῃ.

Herakles am Scheidewege.

43.

Ἡρακλῆς, ἐπειδὴ ἤδη ἐν ἥβῃ ἦν, ἐν ᾗ κρίνουσιν οἱ 1
νεανίαι, πότερον τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον ἢ τὴν διὰ κακίας, ἐν μεγάλῃ ἀπορίᾳ ἦν, ποτέραν

τῶν ὁδῶν τρέποιτο. Καὶ ἐφαίνοντο αὐτῷ δύο γυναῖκες
μεγάλαι· ἡ μὲν οὖν ἑτέρα σωφρονεστάτη ἦν τὴν φύσιν,
τὰ δ' ὄμματα εἶχε πλήρη αἰδοῦς καὶ ἁπλῆν τὴν ἐσθῆτα, ἡ
δ' ἑτέρα ἐφαίνετο θρασεῖα καὶ τὴν ἐσθῆτα ποικίλην εἶχε
καὶ πολλάκις ἀπέβλεπεν εἰς ἑαυτήν. Καὶ πλησιαζουσῶν
αὐτῶν τῷ Ἡρακλεῖ ἡ μὲν ἀεὶ τὸν αὐτὸν τρόπον πρού-
βαινεν, ἡ δ' ἑτέρα ὡς τάχιστα προστρέχουσα „ὦ Ἡρά-
κλεις," ἔφη, „τί μέλλεις ἐν ἀπορίᾳ ὤν, ποίαν ὁδὸν ἐπὶ
τὸν βίον τρέπῃ; Ἐὰν γὰρ ἐμοὶ ἐπιτρέψῃς σεαυτόν, τὴν
ἡδίστην τε καὶ ῥᾳστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν ἡδονῶν
πασῶν μέτοχος, τῶν δὲ πόνων ἄπειρος διάξεις τὸν βίον,
ἀφθονίαν ἔχων σίτου καὶ ποτοῦ καὶ ὀμμάτων τε καὶ ὤτων
ἡδονῆς. Καὶ οὐ φόβος, μὴ ἀπορία ποτὲ τούτων τῶν
χρημάτων σε καταλαμβάνῃ· τοῖς γὰρ φίλοις μου πάντα τὰ
τοιαῦτα ἄνευ πόνου γίγνεται."

44.

Καὶ Ἡρακλῆς ἀκούσας ταῦτα „ὦ γύναι," ἔφη, „ὄνομα
δέ σοι τί ἐστιν;" Ἡ δὲ „οἱ μὲν ἐμοὶ φίλοι," ἔφη, „ὀνο-
μάζουσί με Εὐδαιμονίαν, οἱ δ' ἐχθροὶ Κακίαν." Καὶ ἐν
τούτῳ ἡ ἑτέρα γυνὴ πλησιάζουσα ἔλεγε τάδε· „Καὶ ἐγὼ
ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, οὐκ ἄπειρος οὖσα τῶν τε γονέων
σου καὶ τῆς σῆς φύσεως. Ἐκ τούτων γὰρ ἐλπίζω, εἰ
τὴν πρὸς ἐμὲ ὁδὸν τρέποιο, καὶ σὲ ἀεὶ καλὸν κἀγαθὸν ἂν
εἶναι καὶ ἐμὲ ἔτι πολλῷ ἐντιμοτέραν ἂν φαίνεσθαι παρὰ
τοῖς ἀνθρώποις. Πάντων δὲ τῶν ἀγαθῶν, ὅσα ἐστὶν ἐν
τῇ γῇ, οὐδὲν ἄνευ πόνου καὶ ἰδρῶτος τοῖς ἀνθρώποις
γίγνεται. Εἴτε γὰρ τοὺς θεοὺς εὐνους σαυτῷ παρέχειν
βούλει, εἴτε φίλους ἔχειν πιστούς, εἴτε γῆν βούλει σοι
καρποὺς ἀφθόνους φέρειν, εἴτε τῇ τοῦ σώματος ἰσχύϊ
ἀριστεύειν, ἀεὶ τούτων σε δεῖ ἐπιμέλειαν ἔχειν καὶ κιν-

δυνεύειν ὑπὲρ αὐτῶν.“ Ἡ δὲ Καχία „ὦ νεανία,“ ἔφη, 6
„τί ἔτι μέλλεις ἐμοὶ ἕπεσθαι ταύτης ἀκούσας τοὺς λόγους;
Ἐγὼ γὰρ πολὺ ῥᾴω καὶ ἡδίω ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν
ἄξω σε.“ Ἡ δ' Ἀρετὴ „ὦ τλῆμον,“ ἔφη, „τί δὲ σὺ 7
ἀγαθὸν ἔχεις; Ἥτις οὐ μένεις τὴν τῶν ἡδονῶν ἐπιθυμίαν,
ἀλλ' ἐσθίεις μὲν ἄνευ πείνης, πίνεις δ' ἄνευ δίψης, καθ-
εύδεις δ' οὐ διὰ κόπον, ἀλλ' ὅτι οὐδὲν ἔχεις ἐργάζεσθαι
χρηστόν.

45.

Διαφθείρεις δὲ τοὺς σεαυτῆς φίλους· οἵτινες γὰρ 1
ἂν σοὶ ἕπωνται, νέοι μὲν ὄντες αὐτοὶ ἑαυτοὺς δια-
φθείρουσιν, πρεσβύτεροι δὲ γενόμενοι οὐδεμίαν ἔτι ἡδονὴν
ἔχουσι καὶ σφίσιν αὐτοῖς βαρεῖς εἰσιν. Σὺ δ' ἀθάνατος 2
οὖσα θεοῖς μὲν εἶ ἐχθίστη, ὑπὸ δ' ἀνθρώπων τῶν ἀγαθῶν
ἀτιμάζει καὶ οὐδέποτε τοῖς σεαυτῆς ἔργοις χαίρεις. Τίς 3
δὲ πιστεύει σοι λεγούσῃ τι; τίς δέ σοι χαρίζεταί τι δεο-
μένῃ; Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δ' ἀνθρώποις 4
τοῖς ἀγαθοῖς καὶ ἔργον καλὸν οὐδὲν ἄνευ ἐμοῦ γίγνεται·
οἵστισι δ' ἂν συνῶ, οὗτοι ἐν μεγάλῃ εἰσὶ τιμῇ. Εἰμὶ δὲ 5
φίλη μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπό-
ταις, εὔνους δὲ βοηθὸς οἰκέταις, ἀγαθὴ δὲ κοινωνὸς τῶν
ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος
ἔργων, ἀρίστη δὲ φιλίας μέτοχος. Τὸ δὲ πίνειν καὶ ἐσθίειν 6
καὶ καθεύδειν αὐτοῖς ἐστιν ἥδιστα, ὅτι οὐδὲν τούτων
ἄνευ πόνου παρέχω. Καὶ ἀποθνῄσκουσιν ἄνευ λύπης, 7
ἀθάνατοι ὄντες τῇ τῶν ἔργων μνήμῃ.“ Ἡρακλῆς δὲ ταῦτα 8
πάντ' ἀκούσας οὐκ ἔμελλε τῇ Ἀρετῇ ἕπεσθαι διὰ παντὸς
τοῦ βίου.

Wahnsinn und Ende des Perserkönigs Kambyses.

46.

1 Ἐπειδὴ Καμβύσης οὐκ ηὐτύχει πρὸς τοὺς Αἰθίοπας
στρατεύων, ἠθύμει μὲν ἰσχυρῶς, ὀκνῶν, μὴ γέλωτα ποιοίη
τοῖς Αἰγυπτίοις, ὅμως δ' ἐδόκει αὐτῷ εἰς τὴν Αἴγυπτον
2 ἀναχωρεῖν. Ἧκων δ' εἰς τὴν Μέμφιν ἔτι μᾶλλον ἠγα-
νάκτει· οἱ γὰρ ἐνοικοῦντες ηὐθύμουν καὶ ἑορτὰς ἦγον
δοκοῦντες ἔχειν τὸν Ἆπιν, ὃν πολὺν χρόνον ἐζήτουν.
3 Ὁ δὲ Καμβύσης, ὑποπτεύων τῇ ἑαυτοῦ ἀτυχίᾳ ἐκείνους
χαίρειν, καλεῖ τοὺς ἄρχοντας, ἵνα ζητῇ, τί τοῦτο ποι-
οῦσιν οἱ πολῖται, ἐπεὶ πρότερον αὐτοῦ παρόντος οὐδὲν
4 τοιοῦτον ἐποίουν. Ἀκούσας δὲ τὰ περὶ τὸν Ἆπιν ἐκέ-
λευσεν αὐτοὺς ἀναιρεῖν, ἀπιστῶν τοῖς λόγοις αὐτῶν.
5 Μετὰ δὲ ταῦτα τοὺς ἱερέας ἐκέλευσεν ἄγειν τὸν Ἆπιν· καὶ
οἱ μὲν ἐποίουν τοῦτο, ὁ δὲ Καμβύσης τῷ ξίφει τοῦ
6 Ἄπιδος παίει τὸν μηρόν. Καὶ ῥέοντος τοῦ αἵματος ἐλοι-
7 δόρει τοὺς ἱερέας, ὅτι βοῦν καλοῖεν θεόν. Ἐκέλευσε δὲ
καὶ ῥαβδίζειν αὐτοὺς καὶ ἀναιρεῖν, ὅντιν' ἂν καταλαμι-
8 βάνωσιν ἑορτάζοντα. Καὶ τὸν μὲν Ἆπιν νοσοῦντα ἐθερά-
πευον οἱ ἱερεῖς, ἐπειδὴ δ' οὐκ ἔσωσαν, ἐν τῷ ἱερῷ ἔθαψαν·
τὸν δὲ Καμβύσην πάντες ἐνόμιζον μαίνεσθαι, ὅτι τοσαῦτα
ἀσεβοίη εἰς τοὺς θεούς.

47.

1 Σαφέστερον δ' ἔτι μανίας σημεῖον οἱ Αἰγύπτιοι
2 ἡγοῦντο τόδε. Σμέρδις γὰρ ἦν αὐτῷ ἀδελφὸς ὁμοπά-
τριος καὶ ὁμομήτριος, ᾧ πάλαι ἐφθόνει, ὅτι μόνος πάντων
τῶν Περσῶν δυνατὸς ἦν τὸ τοῦ Αἰθίοπος τόξον τείνειν.
3 Τοῦτον οὖν τόθ' ὡς τάχιστ' ἀπέπεμψεν εἰς τοὺς Πέρσας,
ἵνα μηκέτι λυποῖτο ῥώμῃ καὶ ἀρετῇ κρατούμενος ὑπ'

αὐτοῦ. Ὀλίγῳ δ' ὕστερον ἄναρ ἐδόκει αὐτῷ ἀνήρ τις ἐκ 4
τῶν Περσῶν ἀγγέλλειν, ὅτι Σμέρδις ἐκ τῷ βασιλείῳ θρόνῳ
καθεζόμενος τῇ κεφαλῇ ψαύοι τοῦ οὐρανοῦ. Ἐνθυμού- 5
μενος οὖν, ὅτι οἱ Πέρσαι τὸν νεανίαν περὶ πολλοῦ ποι-
οῖντο, καὶ φοβούμενος, μὴ ἐκεῖνος τῆς βασιλείας ἐπι-
θυμοίη, Πρηξάσπη, ὃν πιστότατον ἡγεῖτο, ἀπέπεμψεν ὡς
φονεύσοντα τὸν Σμέρδιν. Μετὰ δὲ ταῦτα καὶ τὴν ἀδελφὴν 6
αὐτὸς λέγεται φονεῦσαι, ὅτι ἐπὶ τῷ τοῦ ἀδελφοῦ θανάτῳ
ἐφαίνετο λυπουμένη. Οὐ πολλῷ δ' ὕστερον δεινότατα 7
καὶ τὸν Πρηξάσπη ἠδίκει, ὃν περὶ πλείστου ἐποιεῖτο, ὁ
δὲ παῖς ᾠνοχόει αὐτῷ. Ἔλεγε δὲ τούτῳ· „Πρήξασπες, 8
ποῖόν τινά μ' ἄνδρα ἡγοῦνται οἱ Πέρσαι;“ Ὁ δὲ „ὦ 9
δέσποτα,“ ἔφη, „τὰ μὲν ἄλλα δεινῶς ἐπαινεῖ, ὑπὸ δὲ τοῦ
οἴνου σε νομίζουσι κρατεῖσθαι.“

48.

Ὁ δὲ Καμβύσης πρῶτον μὲν ἐσίγα, θαυμάζων τὸν 1
ἄνδρα, ὅτι τολμῴη ταῦτα πρὸς βασιλέα λέγειν, ἔπειτα δὲ
„νὴ Δία,“ ἔφη, „ἔτι μᾶλλον ἀγαπῶ σε ἢ πρότερον, ὦ
Πρήξασπες, ὅτι οὐκ ἀπατᾷς με ψευδέσι λόγοις. Νῦν δ' 2
ὕρα, εἰ οἱ Πέρσαι ἀληθῆ λέγουσι ταῦτα.“ Καὶ ἅμα τείνει 3
τὸ τόξον βοῶν· „Ἐὰν μὲν οὖν τὸν παῖδά σου, ὃν ἐν
τοῖς προθύροις ὁρᾷς, διὰ μέσης τῆς καρδίας τοξεύσω,
μηδεὶς ἔτι τολμάτω λέγειν ἐμὲ μεθύειν· ἐὰν δὲ μή, ὑμῶν
ἡ γνώμη φανερὰ ἔσται νικῶσα.“ Τοξεύσαντος δὲ τοῦ 4
Καμβύσου πίπτει ὁ παῖς καὶ τελευτᾷ αὐτίκα, καὶ σχί-
σαντες τὸν νεκρὸν ὁρῶσι τὸ τόξευμα ἐν τῇ καρδίᾳ ἐνόν.
Ὁ δὲ Καμβύσης, καὶ γελῶν ἐπὶ τῷ πράγματι, ἐρωτᾷ τὸν 5
πατέρα· „Ὦ Πρήξασπες, τίνα νομίζεις πάντων τῶν ἀν-
θρώπων κάλλιον ἐμοῦ τοξεύειν;“ Ὁ δὲ φοβούμενος, μὴ 6
τολμᾷ ἐκεῖνος καὶ αὐτῷ ἐπιχειρεῖν — ἑώρα γὰρ τὸν

ἄνδρα μαινόμενον — „ὦ δέσποτα," ἔφη, „οὐδ' ἂν θεοὶ σὲ νικῶεν τοξεύοντες." Πρὸς δὲ τούτοις ἄλλα τε πολλὰ ἠδίκει καὶ δώδεκα Πέρσας, ἀναιτίους ὄντας, ἐκέλευσε ζῶντας κατορύττειν.

49.

1 Τούτοις δὲ τοῖς πράγμασιν ἀνιώμενος Κροῖσος ἐπει-
2 ρᾶτο τὸν Καμβύσην νουθετεῖν. Ἔλεγεν οὖν αὐτῷ τάδε·
„Ὦ βασιλεῦ, ταῦτα ποιῶν οὐκ ἂν κτῷο φίλους, ἀλλ' ἀπο-
3 βάλλοις ἄν, οὓς ἔχεις. Ὁ δὲ πατήρ σου, ἕως ἔζη, μά-
λιστα πάντων τῶν συμβούλων ἐμὲ ἐτίμα καὶ ἐπέτρεπέ μοι
4 πολλάκις καὶ σοὶ τὰ κάλλιστα συμβουλεύειν. Ὅρα οὖν,
ὅπως μὴ ἔχθραν κτᾷ πρὸς πάντας τοὺς Πέρσας καὶ
5 πειρῶ τῶν ἐπιθυμιῶν κρατεῖν." Ὁ δ' εἶπεν· „Ἦ σὺ
κἀμοὶ τολμᾷς συμβουλεύειν, ὃς καὶ τὴν σαυτοῦ βασιλείαν
κατέλυσας καὶ τὸν ἐμὸν πατέρα Κῦρον, ὃς συμβούλῳ σοι
6 ἐχρῆτο, ἐκέλευσας ἐπὶ Μασσαγέτας στρατεύεσθαι;" Καὶ
ἤδη ἐλάμβανε τὸ τόξον, ὡς κατατοξεύσων αὐτόν, ὁ δὲ
7 Κροῖσος ἔξω ἔθει. Μετὰ δὲ ταῦτα τοὺς θεράποντας ἐκέ-
λευσεν ἀποκτείνειν αὐτόν· οἱ δέ, οὐκ ἄπειροι ὄντες τῶν
τοῦ δεσπότου τρόπων, ἔκρυψαν ἐκεῖνον, ἵνα πειρῷντο
8 τοῦ Καμβύσου, εἰ μὴ ταχέως αὐτῷ μεταμέλοι. Ἐπειδὴ
δ' ἑώρων αὐτὸν ποθοῦντα τὸν Κροῖσον, ἤγγελλον αὐτῷ
9 ἐκεῖνον ζῆν. Ὁ δὲ Καμβύσης τὸ μὲν ἥδετο, τὸ δὲ καὶ
ἠνιᾶτο ἐπὶ τῇ τῶν θεραπόντων ἀπιστίᾳ, καὶ ἀπέκτεινε
πάντας.

50.

1 Οὕτω Καμβύσης αὐτὸς ἑαυτὸν τῶν φίλων ἐψίλου,
οὐκ ἐνθυμούμενος, ὅτι ἡ τῶν ἀρχομένων εὔνοια μόνη
2 ὀρθοῖ τὴν τῶν βασιλέων ἀρχήν. Ἐν δὲ τοῖς Πέρσαις

κατὰ τὸν αὐτὸν χρόνον δύο ἄνδρες Μάγοι μισοῦντες τὸ τῶν Περσῶν ζυγὸν ἐζήτουν τὴν τῶν Μήδων ἀρχὴν ἐπανορθοῦν. Καὶ τοῦτ᾽ οὐκ ἐδόκει αὐτοῖς χαλεπὸν εἶναι, 3 ὅτι ὁ ἕτερος αὐτῶν καὶ τὸ εἶδος ὁμοιότατος ἦν τῷ Καμβύσου ἀδελφῷ καὶ ταὐτὸ ὄνομα εἶχε Σμέρδιν. Τῶν δὲ 4 Περσῶν τὸ πλῆθος ἐνόμιζε τὸν Καμβύσου ἀδελφὸν ζῆν, ὅτι Πρηξάσπης φονεύσας αὐτὸν οὐκ ἐτόλμα δηλοῦν τὸ πρᾶγμα. Οἱ μὲν οὖν Πέρσαι ἡδέως ἐδέχοντο τὴν Σμέρ- 5 δεως ἀρχήν, καὶ ζηλοῦντες αὐτοῦ τὴν ἀρετὴν καὶ πάλαι ἀγαναχτοῦντες, ὅτι Καμβύσης ἄνδρας τοὺς ἀναιτιωτάτους μαστιγοίη ἢ θανάτῳ ζημιοίη. Οἱ δὲ Μάγοι κήρυκας 6 διέπεμψαν καὶ ἄλλοσε καὶ δὴ καὶ εἰς τὴν Συρίαν, δηλοῦντας, ὡς οἱ Πέρσαι οὐκέτι ἀξιοῖεν τοῦ Καμβύσου δοῦλοι εἶναι, ἀλλὰ τὴν Σμέρδεως ἀρχὴν προτιμῷεν. Ὁ 7 δὲ Καμβύσης — ἐτύγχανε γὰρ τὸ στράτευμα αὐτῷ ἐν Ἀγβατάνοις τῆς Συρίας σκηνοῦν — ἰσχυρῶς ἠνιᾶτο ἐπὶ ταύτῃ τῇ ἀγγελίᾳ, νομίζων ἀληθῆ λέγειν τὸν κήρυκα καὶ ψεύσασθαι τὸν Πρηξάσπη.

51.

Μεταπεμψάμενος δὲ τὸν Πρηξάσπη „ὦ Πρήξασπες,“ 1 ἔφη, „οὕτω σὺ οἶει τὴν ἐμὴν πίστιν βεβαιοῦσθαι; Ἐγὼ 2 μὲν γάρ σ᾽ ἐκέλευσα ἀποκτείνειν τὸν Σμέρδιν καὶ οὐδέν σ᾽ ἐναντιούμενον ἔπεμψα εἰς τοὺς Πέρσας, σὺ δ᾽ ὡς καλῶς μου ὑπήκουσας, ὑπὸ τούτου τοῦ κήρυκος νῦν δηλοῦται· ἀγγέλλει γάρ, ὅτι ἐκεῖνος μὲν ζῇ, οἱ δὲ Πέρσαι δουλεύουσιν αὐτῷ.“ Ὁ δ᾽ ἔλεγεν· „Ὦ δέσποτα, νῦν μὲν θυμοῖ, 3 ψευδέσι λόγοις πειθόμενος· ταχέως δ᾽ ἂν τοῖς ἐμοῖς λόγοις δηλοῖτο, ὅτι ἐγὼ ἀεὶ δικαίως τῆς σῆς πίστεως ἠξιούμην. Τί δὲ κἂν καροποίμην ἄπιστος γενόμενος; Ὁ δ᾽ ἀνήρ, ὃς 4 5 νῦν τοὺς Πέρσας δουλοῦται, καλεῖται μὲν Σμέρδις καὶ

τὸ εἶδος ὁμοιοῖτ᾽ ἂν τῷ σῷ ἀδελφῷ. Ἔστι δέ, ὡς ἐμοὶ δοκεῖ, Μάγος τις, ἀδελφὸς τοῦ Πατιζείθους, ᾧ σὺ στρατευσόμενος εἰς τὴν Αἴγυπτον ἐπέτρεψας τὸν οἶκον φυλάττειν.“ Τότε Καμβύσης ἐννοῶν, ὅτι μάτην τὸν ἀδελφὸν ἐφόνευσεν, οἰκτίρει τὴν τύχην αὐτοῦ καὶ εὐθὺς ἀναπηδᾷ ἐπὶ τὸν ἵππον, ἵνα ζημιῶνται ὡς τάχιστα οἱ Μάγοι. Ἀναπηδῶντος δ᾽ αὐτοῦ γυμνοῦται τοῦ κολεοῦ τὸ ξίφος καὶ παίει αὐτοῦ τὸν μηρόν. Τῶν δ᾽ ἰατρῶν οὐχ οἷων τ᾽ ὄντων τὸ τραῦμα ἰᾶσθαι, τελευτᾷ Καμβύσης βασιλεύσας ἑπτὰ ἔτη καὶ μῆνας πέντε.

Kroisos verliert seinen Sohn Atys.

52.

Κροίσῳ, τῷ Λυδῶν βασιλεῖ, παῖδες ἦσαν δύο, ὧν ὁ μὲν ἐπεφύκει κωφός, ὁ δὲ πάντων τῶν ἡλικιωτῶν ἄριστος ἦν· ὄνομα δ᾽ αὐτῷ ἦν Ἄτυς. Καὶ ἐκεῖνον μὲν ἀεὶ εἶα οἴκοι διατρίβειν, πεπιστευκὼς αὐτὸν οὔτ᾽ εὖ πεφυκέναι ἄρχειν οὔτ᾽ ἄρξειν οὐδέποτε τῶν Λυδῶν. Τὸν δ᾽ Ἄτυν καὶ τὰ ἄλλα ἐπεπαιδεύκει καλῶς καὶ πολλάκις ἐκέλευε στρατηγεῖν τῶν Λυδῶν. Ἐπειδὴ δ᾽ ἐνύπνιον ἐμήνυσεν αὐτῷ, ὅτι ὁ Ἄτυς σιδηρᾷ λόγχῃ μέλλοι τελευτᾶν τὸν βίον, αὐτίκα ἐναντίως εἶχεν. Ἀκόντια γὰρ καὶ δόρατα καὶ τὰ ἄλλα, οἷς εἰς πόλεμον ἢ εἰς θήραν χρῶνται οἱ ἄνθρωποι, ἐκποδὼν ποιεῖται· καὶ τὸν υἱόν, πολλάκις καὶ τεθηρευκότα καὶ ἐπὶ τοὺς πολεμίους ἐστρατευκότα, οὐκέτι ἐᾷ τοῦτο ποιεῖν. Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἦκεν εἰς Σάρδεις ἀνὴρ Φρὺξ ὄνομα Ἄδραστος, Γορδίου τοῦ Μίδου παῖς ὤν, ἵνα φόνου καθαίροιτο ὑπὸ Κροίσου. Οὗτος οὖν „ὦ βασιλεῦ,“ ἔφη, „ἄκων πεφόνευκα τὸν ἐμαυτοῦ ἀδελφόν, καὶ ὁ πατήρ με πεφυγάδευκεν ἐκ τῆς πατρίδος· σοῦ οὖν

δέομαι καθαίρειν με τοῦ φόνου.“ Κροῖσος δὲ καθαίρει 8
αὐτὸν καὶ ξενίζει κάλλιστα καὶ ἐᾷ διατρίβειν παρ᾽ ἑαυτῷ.

53.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον ἐν τῷ Μυσίῳ Ὀλύμπῳ 1
μέγα συὸς χρῆμα διέφθειρε τοὺς τῶν Μυσῶν ἀγρούς. Οἱ 2
οὖν Μυσοί, οὐχ οἷοί τ᾽ ὄντες καταλαμβάνειν τὸ θηρίον,
πρέσβεις ἔπεμψαν πρὸς Κροῖσον λέγοντας τάδε· „Ὦ βα- 3
σιλεῦ, ἥκομεν πρὸς σὲ πολὺν χρόνον συμβεβουλευμένοι
ἀλλήλοις· μέγα γὰρ συὸς χρῆμα τοὺς ἀγροὺς ἡμῶν δια-
φθείρει, ὥστε μάτην πεφύτευται, ἃ πεφυτεύκαμεν. Πολ- 4
λάκις δ᾽ ἤδη ἐπ᾽ αὐτὸν ὡς ἐπὶ πολέμιον ἐστρατεύμεθα,
ἀλλὰ μάτην τετόξευται ἡμῖν τὰ βέλη· θεῖον δέ τι τέρας
δοκεῖ πεφυκέναι. Νῦν οὖν δεόμεθά σου τὸν παῖδα καὶ 5
νεανίας καὶ κύνας συμπέμψαι ἡμῖν, πιστεύοντες οὕτω
ταχέως πεπαύσεσθαι ταῦτα τὰ κακά.“ Ὁ δὲ Κροῖσος 6
ἔλεγεν· „Τὸν μὲν παῖδα οὐ πέμψω, νεόγαμος γάρ ἐστι καὶ
νῦν γε πέπαυται τούτων τῶν πραγμάτων. Τοὺς δὲ 7
νεανίας καὶ τοὺς κύνας ὑμῖν συμπέμψω, ἵν᾽ ἀπολύησθε
τῶν κακῶν.“ Ὁ δ᾽ Ἄτυς ἀκούσας τοὺς λόγους εἶπε πρὸς 8
αὐτὸν τάδε· „Ὦ πάτερ, πρότερον μὲν πολεμεῖν καὶ θη-
ρεύειν ἡμῖν ἐδόκει κάλλιστον εἶναι, καὶ οὕτω πεπαίδευμαι
ὑπὸ σοῦ, νῦν δ᾽ ἀμφοτέρων τούτων ἀποκεκλειμένος
οἴκοι ἡσυχίαν ἄγω. Εἰ δ᾽ οὕτω διάγω, φόβος ἐστίν, μὴ 9
πάντες θ᾽ οἱ Λυδοὶ καὶ ἡ ἐμὴ γυνὴ δειλότατον ἄνδρα
ἡγῶνταί με.“

54.

Κροῖσος δὲ διηγεῖτο, ἃ αὐτῷ ἐμηνύθη τῷ ἐνυπνίῳ, 1
λέγων, ὅτι ἡ ἀρχὴ καταλυθήσοιτο, εἰ ἐκεῖνος τελευτῴη·
κωφὸν γὰρ εἶναι τὸν ἕτερον υἱὸν καὶ ἄρχειν οὐ πεφυκότα.

2 Ὁ δ' Ἄτυς „ὦ πάτερ," ἔφη, „λέγεις τῷ ἐνυπνίῳ μηνυ-
3 θῆναι, ὅτι σιδηρᾷ λόγχῃ μέλλω φονευθήσεσθαι. Ὁ δὲ
κάπρος οὔτε τοὺς ὀδόντας ἔχει σιδηροῦς οὔτ' ἄλλο σιδη-
ροῦν οὐδέν· πῶς ἂν οὖν τῷ ἐνυπνίῳ κωλυθείης με
4 συμπέμπειν ἐκείνοις; Οὐ γὰρ πρὸς πολεμίους νῦν ἡμῖν
στρατευτέον ἐστίν, ὥστε φοβεῖσθαί σε, μὴ ὑπὸ τούτων
5 φονευθῶ· ἔα τοίνυν τοῖς Μυσοῖς με βοηθεῖν." Καὶ
Κροῖσος νικώμενος τούτοις τοῖς λόγοις ἐᾷ τὸν παῖδα μετ-
έχειν τῆς θήρας, τῷ Ἀδράστῳ ἐπιτρέψας τὴν φυλακὴν
6 αὐτοῦ. Καὶ οἱ μὲν πορευθέντες εἰς τὰ ὄρη τὰ τῆς Μυ-
7 σίας καὶ διώξαντες τὸ θηρίον κυκλοῦσιν. Ἐνταῦθα δὴ
πανταχόθεν δόρασι καὶ ἀκοντίοις βάλλουσιν· Ἄδραστος δ'
ἀκοντίζων τοῦ μὲν συὸς ἁμαρτάνει, τυγχάνει δὲ τοῦ
8 Ἄτυος. Οὕτως οὖν ὁ Κροίσου παῖς τελευτᾷ, σιδηρᾷ λόγχῃ
φονευθεὶς κατὰ τὸ ἐνύπνιον· τῶν δὲ θηρευτῶν τις ὡς
τάχιστα τῷ πατρὶ ἀγγέλλει τὴν συμφοράν.

55.

1 Κροῖσος δὲ τὴν ἀγγελίαν δεξάμενος ἐλυπεῖτο δεινῶς·
οὐ πολλῷ δ' ὕστερον παρῆσαν οἱ Λυδοί, φέροντες τὸν
2 νεκρόν, καὶ ὄπισθεν εἵπετο Ἄδραστος. Καὶ προτείνων τὼ
χεῖρε ἐκέλευσε τὸν βασιλέα κατακόψαι ἑαυτόν, ὅτι πεφο-
3 νευκότι τὸν υἱὸν οὐκ ἄξιον αὐτῷ εἴη ζῆν. Ὁ δ' οἰκτίρων
τὸν ἄνδρα οὐκ εἴα ἀδικεῖσθαι, ἐνθυμούμενος, ὅτι οὐ τοῦ-
4 τον, ἀλλὰ τοὺς θεοὺς αἰτίους εἶχε τῆς συμφορᾶς. „Μὴ
αἰτιῶ σαυτόν," ἔφη, „ὦ δύστυχες ἄνερ· ἃ γὰρ εἰργάσω,
5 ἄκων ἐργασάμενος δῆλος εἶ. Ἐγὼ δέ, καίπερ λυπούμενος,
ἀνδρείως πειράσομαι φέρειν τὴν συμφοράν, ἧς τῶν θεῶν
τίς μοι αἴτιος εἶναι δοκεῖ. Πειρῶ οὖν καὶ σὺ ὡς ῥᾷστα
6 φέρειν τὴν ἀνάγκην." Καὶ Κροῖσος μὲν ἔθαψε τὸν παῖδα
7 καὶ εἰθίζετο κατ' ὀλίγον τὴν τύχην ἀνέχεσθαι. Τὸν δ'

Ἅδραστον οὐκ ἔπειθε τοῖς λόγοις· οὐ γὰρ ἠνείχετο ἐκεῖνος καὶ τὸν ἑαυτοῦ ἀδελφὸν καὶ τὸν τοῦ μεγίστου εὐεργέτου υἱὸν φονεύσας. Ἀεὶ οὖν ταύτῃ τῇ μνήμῃ λυπούμενος οὐ πολλῷ ὕστερον ἑαυτὸν ἐπὶ τῷ Ἄτυος τάφῳ ἀπέκτεινεν.

Arion.

56.

Περιάνδρου τοῦ Κυψέλου τῶν Κορινθίων τυραννεύοντος Ἀρίων πάντων τῶν τότε κιθαρῳδῶν ἠὐδοκίμησε μάλιστα. Τοῦτον οὖν τὸν Ἀρίονα διηγεῖται Ἡρόδοτος πολὺν χρόνον παρὰ Περιάνδρῳ διατρίψαντα ἐπιθυμῆσαι εἰς τὴν Ἰταλίαν καὶ Σικελίαν ἀποδημεῖν. Τοῦτο δὲ ποιήσας καὶ μεγάλα χρήματα κεκτημένος ἐβούλετο αὖθις εἰς τὴν Ἑλλάδα καταπλεῖν. Οὐδενὶ οὖν μᾶλλον πιστεύων ἢ Κορινθίοις ναῦν ἐμισθώσατο Κορινθίων ἀνδρῶν. Οὗτοι δέ, ἐπειδὴ ἑώρων ἐν τῷ πλῷ τὰ τοῦ Ἀρίονος χρήματα, σφόδρα ἐπεθύμησαν αὐτῶν καὶ συνεβουλεύσαντο ἀλλήλοις, ὅπως κρατήσειαν αὐτῶν. Φοβούμενοι δέ, μὴ Ἀρίων ἑστερημένος Περιάνδρῳ δηλώσειε τὸ πρᾶγμα, ἐπεχείρουν αὐτὸν ἐκ τῆς νεὼς ἐκβάλλειν. Ὁ δὲ νοήσας τὴν τῶν ἀνθρώπων ἐπιβουλὴν πρῶτον μὲν τὴν ψυχὴν ἐξητήσατο λέγων, ὅτι ἐκὼν ἐάσει αὐτοὺς ἔχειν τὰ χρήματα. Ἐπειδὴ δὲ μάτην αὐτοὺς ἔπειθεν, Δία καὶ Ἀπόλλω καὶ Ποσειδῶνα μάρτυρας τοσαύτης ἀδικίας ποιούμενος, τοῦτο μόνον ἠξίωσεν, ἐᾶσαι ἑαυτὸν ᾄδειν τὸ ὕστατον.

57.

Συγχωρησάντων δὲ τῶν ναυτῶν Ἀρίων κάλλιστα κοσμηθεὶς οὕτω καλῶς ᾖσεν, ὥστε μὴ μόνον τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τοὺς δελφῖνας ἀκροάσασθαι μεθ' ἡδονῆς· εἰσὶ γὰρ οὗτοι φιλομουσότατοι. Ἔπειτα δὲ πᾶσαν ἔχων τὴν

σκευὴν κατεπήδησεν εἰς τὴν θάλατταν· εἷς δὲ τῶν δελ-
φίνων, παρέχων ἑαυτὸν ὥσπερ ἵππον, ἐπὶ Ταίναρον ἐφό-
3 ρησεν αὐτόν. Πρῶτον μὲν οὖν εὐχόμενος πᾶσι τοῖς θεοῖς
4 χάριν ἔλεγεν· ἔπειτα δ' εἰς τὴν Κόρινθον ἐπορεύθη. Ὁ δὲ
Περίανδρος ἀκούσας πᾶν τὸ πρᾶγμα τὸν μὲν Ἀρίονα οἴκοι
ἐφύλαττε καὶ οὐκ εἴα τοῖς πολίταις ὁμιλεῖν, ἵνα μὴ δη-
5 λωθείη ζῶν. Τοὺς δ' οἰκέτας ἐκέλευσε τοὺς ναύτας
μεταπέμψασθαι, ἐπειδὴ τάχισθ' ἥκοιεν· ἐχρήσατο δὲ τούτῳ
6 τῷ δόλῳ ἀπατήσων τοὺς κακούργους. Ἥκοντας γὰρ αὐτοὺς
ἠρώτησεν, εἴ τι ἔχοιεν περὶ Ἀρίονος ἀγγέλλειν· οἱ δὲ
Θρασέως ἔλεγον, ὅτι ἐν Τάραντι ἐκεῖνος διατρίβοι καὶ εὖ
7 πράττοι. Ἔνθα δὴ φαίνεται Ἀρίων, ὥσπερ ἔχων κατεπή-
δησεν εἰς τὴν θάλατταν, πορφυροῦν χιτῶνα ἐνδεδυκὼς
καὶ ψέλλια ἔχων περὶ ταῖς χερσὶ καὶ χρυσῷ κεκοσμημένος
8 τὰς τρίχας. Οἱ δὲ θαυμάζοντες καὶ πεφοβημένοι ὡμο-
9 λόγουν, ἃ εἰργάσαντο. Αἰτοῦντος δὲ τοῦ Ἀρίονος οὐκ
ἐζημιώθησαν θανάτῳ.

Kroisos zieht gegen Kyros zu Felde und verliert sein Reich.

58.

1 Δύο ἔτη Κροῖσος ἔκλαυσε τὴν τοῦ παιδὸς τελευτήν,
λυπούμενός τ' ἀεὶ καὶ ἐν φόβῳ ὢν περὶ τοῦ μέλλοντος,
2 ὅτι ὁ ἕτερος υἱὸς αὐτῷ κωφὸς ἦν. Ἐνενόει δὲ τότε, ὡς
ἀληθῶς Σόλων οὐδέν' ἀνθρώπων πρὸ τῆς τελευτῆς εὐδαί-
μονα ἐκάλεσεν, καὶ ὡς ἀνοήτως αὐτὸς ἐγέλασε τὸν ἐκείνου
3 λόγον. Τῷ δὲ τρίτῳ ἔτει ἐπαύσατο τῆς λύπης, ἀκούσας
τὴν τῶν Περσῶν δύναμιν ἤδη καὶ τοῖς ὁμόροις ἐπικίνδυνον
4 γίγνεσθαι. Ἠκηκόει δὲ καὶ πρότερον τὴν τοῦ Ἀστυάγους
5 ἀρχὴν καταλελύσθαι ὑπ' ἐκείνων. Φοβούμενος οὖν, μὴ
Κῦρος, ἔτι μείζω δύναμιν κεκτημένος, καὶ τοῖς Λυδοῖς

ἐπιστρατεύσειεν, ἐβουλεύσατο αὐτὸς πόλεμον ἐπιφέρειν τοῖς Πέρσαις. Πρὶν δ' ἐπιτελέσαι, ἃ διενοεῖτο, ἀγγέλους 6
ἔπεμψε δῶρα φέροντας εἰς Δελφούς, ὡς χρησόμενος Ἀπόλλωνι. Καὶ οἱ μὲν εἰς τὴν Ἑλλάδα πλεύσαντες ἐποίησαν ταῦτα· 7
ὁ δὲ θεὸς ἔχρησε Κροῖσον τὸν Ἅλυν ποταμὸν διαβάντα μεγάλην ἀρχὴν καταλύσειν. Ἐπερωτῶσι δ' αὖ- 8
τοῖς, εἴ τινα σύμμαχον δεήσοι προσκτᾶσθαι, ἔχρησεν, ὅτι ἀρκέσοι αὐτῷ τοὺς δυνατωτάτους τῶν Ἑλλήνων συμμάχους ποιεῖσθαι.

59.

Καὶ ὁ Κροῖσος ταῦτ' ἀκούσας ἐπῄνεσε τὴν τοῦ Ἀπόλ- 1
λωνος σοφίαν καὶ ἔτι μείζω αὐτῷ ἔπεμψε δῶρα. Τῶν δ' 2
Ἑλλήνων δυνατώτατοι ἐδόκουν αὐτῷ οἱ Λακεδαιμόνιοι εἶναι· οἱ γὰρ Ἀθηναῖοι, πολὺν χρόνον στάσεσι διεσπασ-
μένοι, τότ' ἀσθενέστεροι ἔτι ἦσαν. Ἔπλευσαν οὖν οἱ 3
Κροίσου πρέσβεις οὐκ εἰς Ἀθήνας, ἀλλ' εἰς Λακεδαίμονα, δῶρα φέροντες καὶ δεησόμενοι τῶν Λακεδαιμονίων συμ-
μαχίαν ποιεῖσθαι τῷ βασιλεῖ. Οἱ δέ, καὶ αὐτοὶ ἀκηκοότες 4
τὰ περὶ τὸν χρησμόν, ἡδέως ἐδέξαντο τούς τε πρέσβεις καὶ τὴν συμμαχίαν. Ἐπειδὴ δὲ τῷ Κροίσῳ ἐπετελέσθη ἡ 5
παρασκευή, πρῶτον μὲν τὸν Ἅλυν ποταμὸν διαβαίνει, ὡς εἰς τὴν Καππαδοκίαν πορευσόμενος. Ἀπαντήσας δὲ τῷ 6
Κύρῳ καὶ ἡττηθεὶς τῇ μάχῃ ἀνεχώρησεν εἰς Σάρδεις, ἵνα μὴ ἀποκλεισθείη τῶν συμμάχων. Παρακαλέσας οὖν τοὺς 7
Αἰγυπτίους καὶ Βαβυλωνίους καὶ Λακεδαιμονίους — τού-
τους γὰρ πάντας εἶχε συμμάχους — εἰς τὸν πέμπτον μῆνα τοὺς μισθοφόρους ἀπέπεμψε πάντας. Οἱ δὲ σύμμαχοι ὑπὸ 8
Κύρου ἐκωλύθησαν τελέσαι, ἃ ἐκελεύσθησαν· εἵπετο γὰρ τῷ Κροίσῳ καὶ παρὰ τὴν δόξαν αὐτοῦ εἰς τὴν Λυδίαν παραγενόμενος ἐπολιόρκησε Σάρδεις.

60.

1 Καὶ ὁ μὲν Κροῖσος ὡς τάχιστα τοὺς Λυδοὺς πρὸ τοῦ
2 ἄστεως εἰς μάχην ἤθροισεν. Ἦσαν δ' ἱππεῖς αὐτῷ τοσ-
οῦτοι τὸ πλῆθος, ὥστ' ἐσείσθη τὸ πεδίον ὑπὸ τῶν ὁπλῶν.
3 Κῦρος δὲ πάσας τὰς καμήλους, αἷς ἐχρῆτο σκευοφόροις,
ἀνδράσιν ἐπέτρεψεν ἱππεύειν, καὶ ἐτάττοντο οὗτοι πρὸ τοῦ
4 ἄλλου στρατεύματος. Οἱ δ' ἵπποι τῶν Λυδῶν τὰς πλησια-
ζούσας καμήλους οὐκ ἐδέξαντο διὰ τὴν ὀσμήν, καὶ οἱ
5 Λυδοὶ ἀποσεσεισμένοι πεζῇ ἐπειρῶντο μάχεσθαι. Τέλος
δ' ἡττᾶται ὁ Κροῖσος καὶ κατακεκλειμένος εἰς Σάρδεις
6 πολιορκεῖται. Καὶ πρὶν ἐκπλεῦσαι τοὺς Λακεδαιμονίους,
ὧν ἐδεήθη ὡς τάχιστα βοηθεῖν, οἱ Πέρσαι τήν τε πόλιν
7 λαμβάνουσι καὶ Κροῖσον αὐτόν. Ὁ δὲ κωφὸς παῖς αὐτοῦ
τότε λέγεται πρῶτον φωνῆσαι· ὁρῶν γὰρ τῶν Περσῶν
τινα, ἐσπασμένον τὸν ἀκινάκην, μέλλοντα κατακόπτειν
τὸν πατέρα, ἐβόησεν· „Ὦ ἄνθρωπε, μὴ ἀπόκτεινε Κροῖ-
8 σον!“ Καὶ μετὰ τοῦτ' ἐφώνει ὁ παῖς, ἕως ἔζη.

61.

1 Ὁ μὲν οὖν στρατιώτης οὐ κατέσφαξε τὸν Κροῖσον·
ἐκέλευσε γὰρ Κῦρος ζῶντα λαμβάνειν τὸν τῶν Λυδῶν
2 βασιλέα. Μετὰ δὲ ταῦτα Κροῖσος παρὰ Κῦρον ἤχθη
ἐν δεσμοῖς· ὁ δὲ μεγάλην πυρὰν παρασκευάσας ἀνε-
βίβασεν αὐτόν, εἴτ' εὐχὴν ἐπιτελέσαι ἐθέλων εἴτε πει-
ρώμενος, εἴ τις τῶν θεῶν φυλάξει αὐτόν, ὥστε μὴ
3 καταυαυθῆναι ζῶντα. Ἤκουσε γὰρ ἤδη πάλαι εὐσεβέσ-
4 τατον αὐτὸν εἶναι. Ὁ δὲ Κροῖσος ἐν τοσούτῳ κακῷ ὢν
5 βαρὺ ἐστέναξε καὶ τρὶς ἐκάλεσε Σόλωνα. Θαυμάσας δ'
6 ὁ Κῦρος ἠρώτησεν αὐτὸν δι' ἑρμηνέως, τί ὤμωξεν. Ὁ
δὲ διηγήσατο, ὡς Σόλων ποτὲ πάντας τοὺς θησαυροὺς

αὐτοῦ θεασάμενος ἠτίμασεν αὐτόν, λέγων οὐδένα τῶν ζώντων εἶναι εὐδαίμονα. Ἐνταῦθα δὴ Κῦρος, φοβού- 7
μενος τὴν τῆς Τύχης ἀπιστίαν, τοῖς θεράπουσι λέγεται προστάξαι, παῦσαι τὸ πῦρ καὶ καταβιβάσαι τὸν δεδε-
μένον. Ἐπειδὴ δὲ μάτην ἐσπούδαζον περὶ τοῦτο, εὐξα- 8
μένου τοῦ Κροίσου Ἀπόλλων λέγεται ὗσαι ἐξαίφνης καὶ
οὕτω σῶσαι ἐκεῖνον. Κῦρος δ' οὐ μόνον ἔσωσε τὸν 9
Κροῖσον, ἀλλὰ καὶ ὡς φίλῳ ἐχρήσατ' αὐτῷ, περὶ πολλοῦ
ποιούμενος τὴν γνώμην τὴν τοῦ γέροντος.

Der Schatz des Rhampsinit.

62.

Ἐν ταῖς Ἡροδότου ἱστορίαις γέγραπται κατὰ τὰ 1
Τρωϊκὰ τῆς Αἰγύπτου ἄρξαι Πρωτέα, τούτου δὲ τελευτή-
σαντος Ῥαμψίνιτον δέξασθαι τὴν ἀρχήν. Οὗτος δέ, 2
μέγαν κεκτημένος πλοῦτον ἀργύρου καὶ βουλόμενος ἐν
ἀσφαλεῖ χρῆσθαι αὐτῷ, λίθινον οἴκημα παρεσκευάσατο
ἰσχυρότατον. Ὁ δ' οἰκοδόμος αὐτὸς ἐπιβουλεύων τοῖς 3
χρήμασιν ἐμηχανήσατο τάδε· Τὸν γὰρ ἔξω τοῖχον τοῦ 4
οἰκήματος οὕτω παρεσκεύασεν, ὥσθ' ἕνα τῶν λίθων
ῥᾳδίως ἐξαιρετὸν εἶναι καὶ ὑπὸ δυοῖν ἀνδροῖν καὶ ὑφ' ἑνός.
Ἐπειδὴ δὲ ἐπέπρακτο τὸ ἔργον καὶ τὰ τοῦ βασιλέως χρή- 5
ματ' ἐν τῷ οἰκήματι ἐτεθησαύριστο, ἀσθενήσας ὁ οἰκο-
δόμος μετεπέμψατο τοὺς παῖδας, οὓς εἶχε δύο. Τούτοις 6
οὖν τὰ περὶ τὸν λίθον σαφῶς διηγήσατο λέγων, ὅτι, εἰ
φυλάξουσιν αὐτά, οὔποτε σπανιοῦσιν. Καὶ ὁ μὲν ἐτε- 7
λεύτησεν οὐ πολλῷ ὕστερον, οἱ δὲ παῖδες αὐτοῦ νυκτὸς
διεπράξαντο τὰ ὑπὸ τοῦ πατρὸς παρεσκευασμένα καὶ

8 ἥρπασαν πολλὰ τῶν χρημάτων. Ὁ δὲ βασιλεὺς μετ᾽ ὀλίγον χρόνον ἀνοίξας τὸ οἴκημα ἐθαύμασεν ἰσχυρῶς· χρήματα μὲν γὰρ πολλὰ ἐφαίνετο κεκλεμμένα, τῶν δὲ κλωπῶν σημεῖον οὐδέν, ἅτε κεκλειμένου τοῦ θησαυροῦ.

63.

1 Ὡς δ᾽ αὐτῷ καὶ δὶς καὶ τρὶς ἀνοίξαντι ἀεὶ ἐλάττω ἐφαίνετο τὰ χρήματα — οἱ γὰρ κλῶπες οὐκ ἔλῃξαν ἁρπά-
2 ζοντες — ἐποίησε τάδε· Πάγας γὰρ προσέταξεν ἐργά-
σασθαι καὶ ἱδρῦσαι περὶ τὰ ἀγγεῖα, ἐν οἷς ἐνῆν τὰ χρή-
3 ματα. Τῶν δὲ κλωπῶν ὀλίγῳ χρόνῳ ὕστερον αὖθις πειρωμένων τῆς ἁρπαγῆς, ὁ ἕτερος εἰς μίαν τῶν παγῶν
4 ἐμπίπτει. Ἐννοήσας δέ, ἐν οἵῳ κακῷ ἐστιν, τὸν ἀδελφὸν τὴν ἔξω φυλακὴν ἔχοντα διδάσκει τὴν συμφορὰν καὶ κε-
5 λεύει ὡς τάχιστ᾽ ἀποτέμνειν αὐτοῦ τὴν κεφαλήν. Ὁ δ᾽ ἐπείσθη οὐ χαλεπῶς· ἐφοβεῖτο γάρ, μὴ ἐκεῖνος γνωρισ-
6 θεὶς καὶ αὐτὸν διαφθείροι. Καὶ ἐναρμόσας τὸν λίθον
7 οἴκαδ᾽ ἀνεχώρησε φέρων τὴν τοῦ ἀδελφοῦ κεφαλήν. Τῇ δ᾽ ὑστεραίᾳ ὁ βασιλεὺς ὁρῶν τὸ μὲν σῶμα τοῦ κλωποῦ ἄνευ κεφαλῆς ἐν τῇ πάγῃ ὄν, τὸ δ᾽ οἴκημα οὔτ᾽ εἴσοδον
8 οὔτ᾽ ἔξοδον ἔχον οὐδεμίαν, ἐταράχθη δεινῶς. Πολὺν δὲ χρόνον λογισάμενος τὸν νεκρὸν ἐκ τοῦ τείχους ἀνήρτησε καὶ φύλακας ἔταξε κελεύων τοῖς παριοῦσι προσέχειν τὸν νοῦν, εἴ τις αὐτῶν οἰμώξοιτο τὸν νεκρόν, καὶ ὅστις τοῦτο ποιήσειεν, ὡς τάχιστα πρὸς αὐτὸν ἄγειν.

64.

1 Ἡ δὲ μήτηρ τῶν ἀδελφῶν, δεινῶς φέρουσα ταῦτα, τῷ ἑτέρῳ προστάττει τὸν ἀδελφὸν καταλῦσαι παντὶ τρόπῳ
2 καὶ κομίσαι. Λέγει δ᾽ αὐτῷ, ὅτι, εἰ μὴ κομιεῖ τὸ τοῦ ἀδελφοῦ σῶμα καὶ θάψει, αὐτὴ πάντα τῷ βασιλεῖ μη-

νύσει. Ἐκεῖνος οὖν, καίπερ ἀντιλέγων πολλά, οὐκ ἐπειθε 3
τὴν μητέρα καὶ δὴ ἐμηχανήσατο τοιάδε. Ὄνους γὰρ κατα- 4
σκευασάμενος καὶ ἀσκοὺς οἴνου πλήρεις ἐπισάξας ἐλαύνει
τοὺς ὄνους διὰ τῆς πόλεως. Πλησιάσας δὲ τοῖς τοῦ 5
νεκροῦ φύλαξι δύο ἢ τρεῖς τῶν ἀσκῶν λύει, ὥστ' ἐκρεῖν
τὸν οἶνον. Τότε δὴ τὴν κεφαλὴν ἐκόψατο μέγα βοῶν, 6
ὡς οὐκ ἔχων, πρὸς τίνα τῶν ὄνων πρῶτον τρέποιτο. Οἱ 7
δὲ φύλακες, ἅτε ὁρῶντες πολὺν ῥέοντα τὸν οἶνον, συνέ-
τρεχον πάντες εἰς τὴν ὁδὸν ἀγγεῖα ἔχοντες, ἵνα τὸν οἶνον
ἁρπάσειαν. Ὁ μὲν οὖν ὡς ὀργισθεὶς ὠνείδισε πολλὰ 8
τοῖς ἡρπακόσι τὸν οἶνον. Οἱ δὲ φύλακες οὐκ ἠνιῶντο 9
νομίζοντες ἐκπεπλῆχθαι τὸν ἄνδρα τῇ ἀτυχίᾳ, ἀλλ'
ἔσκωψαν καὶ ἐγέλασαν ἐπαινοῦντες τὸν οἶνον, ὡς γλυκὺς
εἴη. Τέλος δὲ καὶ αὐτὸς ἐγέλασε καὶ ἕνα τῶν ἀσκῶν, οὗς 10
εἶχε λοιπούς, τοῖς φύλαξιν ἐχαρίσατο.

65.

Κελευόντων δ' αὐτῶν συμπίνειν αὐτοῖς οὐ μόνον 1
ἐπείσθη, ἀλλὰ καὶ τοσούτοις ἀσκοῖς εἱστίασε τοὺς πίνον-
τας, ὥστε τὸ τέλος οἴνῳ καὶ ὕπνῳ βαρεῖς κοιμηθῆναι.
Τῆς δὲ νυκτὸς τὸ μὲν σῶμα τοῦ ἀδελφοῦ κατέλυσεν, τῶν 2
δὲ φυλάκων τὰς δεξιὰς παρειὰς ἐξύρησεν. Καὶ οὕτω καλῶς 3
διαπραξάμενος τὰ προστεταγμένα τὸν νεκρὸν πρὸς τὴν
μητέρα ἐκόμισεν. Ὁ δὲ βασιλεὺς ἀκούσας, ὡς ἥρπασται 4
ὁ νεκρός, ἐθαύμασεν ἰσχυρῶς καὶ συνεβουλεύσατο τοῖς
ἑαυτοῦ πολὺν χρόνον. Ἐπεθύμει γὰρ εὑρίσκειν, ὅστις ποτὲ 5
ἡρπακὼς εἴη τά τε χρήματα καὶ τὸ σῶμα καὶ ὑβρικὼς
εἰς τοὺς φύλακας. Μηχανώμενος οὖν τὰ ἔσχατα ἐκήρυξεν, 6
ὅτι μέλλοι τὴν θυγατέρα τούτῳ τῷ ἀνδρὶ συνοικιεῖν,
ὅστις τὸ πάντων σοφώτατον καὶ ἀνοσιώτατον εἰργασμένος
εἴη. Ἐκέλευσε δὲ τοὺς βουλομένους νυκτὸς παρεῖναι εἰς τὰ 7

βασίλεια καὶ δηλοῦν τῇ θυγατρί, ὃ νομίζοιεν ἐν τῷ βίῳ σοφώτατον καὶ ἀνοσιώτατον εἰργάσθαι.

66.

1 Ἤλπιζε γὰρ οὕτως ἐξαπατήσειν τὸν κλῶπα καὶ προσε-
ταξε τῇ θυγατρί, ὃς ἂν τὰ περὶ τὸν νεκρὸν δηλώσῃ,
2 τοῦτον συλλαμβάνειν. Ὁ δὲ κλὼψ οὐκ ἐψεύσθη· παρῆν
γὰρ εἰς τὰ βασίλεια, χεῖρα νεκροῦ ὑπὸ τῷ ἱματίῳ κεκρυ-
3 φώς. Εἰσαχθεὶς δὲ πρὸς τὴν παῖδα καὶ ἐρωτηθεὶς ἐδή-
λωσεν αὐτῇ, ὡς μὲν ἀνοσιώτατον εἴργασται, ὅτε τὸν
ἀδελφὸν ἐν τῇ πάγῃ ὄντα κατέσφαξεν, σοφώτατον δέ, ὅτε
4 τὸ σῶμα αὐτοῦ ἔκλεψεν ἀπατήσας τοὺς φύλακας. Καὶ ἡ
μὲν ἀκούσασα ταῦτα ἅπτεται τοῦ κλωπός, ὁ δὲ προτείνων
ἐν τῷ σκότει τὴν τοῦ νεκροῦ χεῖρα αὐτὸς ἀποφεύγει καὶ
5 αὖθις ἐξαπατᾷ τοὺς ἐπιβουλεύοντας. Ὁ δὲ Ῥαμψίνιτος
ἐκπεπληγμένος ἐπὶ τῇ σοφίᾳ καὶ τόλμῃ τοῦ ἀνδρὸς
κήρυκας διέπεμψεν εἰς πάσας τὰς πόλεις καλοῦντας αὐτὸν
6 καὶ συγγνώμην βεβαιοῦντας πάντων τῶν ἀδικημάτων. Ὁ
δὲ πεπεισμένος τούτοις τοῖς λόγοις ἦκει πρὸς τὸν βασιλέα
7 καὶ δηλοῖ αὐτῷ πάντα. Καὶ μὴν Ῥαμψίνιτος λέγεται αὐτῷ
συνοικίσαι τὴν θυγατέρα, ἡσθείς, ὅτι πάντων ἀνθρώ-
8 πων σοφώτατος εἴη. Αἰγυπτίους μὲν γὰρ τῶν ἄλλων
σοφωτέρους εἶναι, ἐκεῖνον δὲ περιεῖναι καὶ τῶν Αἰγυπτίων.

Entlarvung und Tötung des falschen Smerdis. Thronbesteigung des Dareios.

67.

1 Τελευτήσαντος Καμβύσου Σμέρδις ὁ Μάγος μῆνας
ἑπτὰ τῶν Περσῶν ἐβασίλευσεν ἐν ἀσφαλεῖ· καὶ γὰρ πάντας
ηὐεργέτησε μεγάλας εὐεργεσίας ἐλπίζων οὕτω μάλιστα τοὺς

Πέρσας τῇ πίστει ἐμμενεῖν. Ὀγδόῳ δὲ μηνὶ Ὀτάνης, 2
ἀνὴρ ἐν τοῖς Πέρσαις ἐντιμότατος, ὑπώπτευσεν αὐτὸν οὐκ
εἶναι Σμέρδιν τὸν Κύρου, ὅτι οὐδενὶ τῶν Περσῶν παρ-
εἶχεν ἑαυτῷ συνεῖναι. Ἦν δὲ τῷ Ὀτάνῃ θυγάτηρ, ἣν 3
Καμβύσης καὶ μετὰ τοῦτον ὁ Μάγος εἶχε γυναῖκα. Ἐλ- 4
πίζων οὖν διὰ ταύτης ᾖστα φανεῖν τὴν ἀλήθειαν ἀγ-
γέλλει αὐτῇ τάδε· „Ὦ παῖ, πολὺν ἤδη χρόνον ὑποπτεύω 5
ἐγὼ οὐ Σμέρδιν τὸν Κύρου βασιλεύειν τῶν Περσῶν, ἀλλὰ
Μάγον τινὰ ταὐτὸ ὄνομα ἔχοντα. Εἰ δ' οὕτως ἔχει, 6
διαφθεροῦμεν τὸν ἄνθρωπον καὶ καθαροῦμεν τὸν
θρόνον τούτου τοῦ ὀνείδους. Σὺ δὲ τάχιστα κρινεῖς, 7
τίνι ἀνδρὶ συνοικεῖς, ἐὰν ἐξετάσῃς, πῶς ἔχει ἐκεῖνος τῶν
ὤτων· ὁ γὰρ Μάγος ζημιωθείς ποτε ὑπὸ Κύρου οὐκέτι
ἔχει αὐτά. Εἰ δὲ περανεῖς, ἃ σοι ἐντέλλομαι, καὶ ὁ ἄν- 8
θρωπος φανεῖται τοὺς Πέρσας ἀπατῶν, σὺ μὲν οὐκέτι
αἰσχυνεῖ τοιούτῳ ἀνδρὶ συνοικοῦσα, ἡμεῖς δ' οἱ ἄλλοι
Πέρσαι εὐφρανούμεθα ζημιοῦντες τοσαύτην ἀδικίαν. Ἄγε 9
δή, σκόπει, ὦ παῖ, πότερον Σμέρδει τῷ Κύρου ἢ Σμέρδει
τῷ Μάγῳ δουλεύομεν.“ Ἡ δὲ τοῦ Ὀτάνου θυγάτηρ 10
καθεύδοντος τοῦ Σμέρδεως ἅπτεται τῶν ὤτων καὶ ῥᾳδίως
γιγνώσκει, ὅτι ὀρθῶς ὑπώπτευσεν ὁ πατήρ.

68.

Τῇ δ' ὑστεραίᾳ πιστὸν ἄνδρα πρὸς τὸν Ὀτάνην ἀπέ- 1
στειλεν ἀγγελοῦντα τὸ πρᾶγμα. Ὀτάνης δὲ πάντ' ἐσή- 2
μηνε τοῖς πιστοτάτοις τῶν φίλων, καὶ ἀγείρας αὐτοὺς
ἐκέλευσε τὴν γνώμην ἀποφήνασθαι. Καὶ ἐνταῦθ' ὡμο- 3
λόγουν μὲν πάντες, ὅτι δεῖ ἀποκτεῖναι τόν τε Σμέρδιν
καὶ τὸν ἀδελφὸν αὐτοῦ Πατιζείθη. Πότερον δ' αὐτίκα 4
δέοι περᾶναι τὸ ἔργον, ἢ πλείους πρότερον προσκτήσασθαι
ἑταίρους, περὶ τούτου διεφέροντο. Τέλος δὲ Δαρεῖος ὁ 5

Ὑστάσπου εἶπεν· „Ὦ ἄνδρες, ἐὰν μὴ τήμερον ἀποκτεί-
νητε τοὺς Μάγους καὶ πλείοσιν ἀποφήνησθε τὴν ἐπι-
6 βουλήν, ὑμᾶς αὐτοὺς διαφθερεῖτε κάκιστα. Τί δὲ καὶ
κερδανεῖτε μέλλοντες; ὅσῳ γὰρ ἂν πλείους ἔχητε ἑταίρους,
7 τοσούτῳ θᾶττον ἡ ἐπιβουλὴ δηλώσεται τοῖς Μάγοις. Ἐγὼ
δὲ τήμερον ἦκων ἐκ Περσῶν ᾔδειν τοὺς φύλακας πείσω
λέγων, ὅτι ἔχω τι ἀγγεῖλαι βασιλεῖ· ὁ γὰρ πατήρ μου
8 ὕπαρχός ἐστιν ἐν τοῖς Πέρσαις.“ Μετὰ δὲ τοῦτον καὶ
Γωβρύας παρώξυνεν αὐτοὺς λέγων, ὡς Καμβύσης τελευ-
τῶν αὐτοῖς ἐντείλαιτο τὴν τῶν Μάγων τυραννίδα ἀμύ-
9 νασθαι. Πεισθέντες οὖν καὶ οἱ ἄλλοι οὐκ ἔμειναν, ἀλλ᾽
ἐπέραναν αὐτίκα τὸ ἔργον.

69.

1 Καὶ ὥσπερ αὐτοῖς ἐκέκριτο, οὕτως ἐπεράνθη πάντ᾽
2 ἐν βραχεῖ χρόνῳ. Ὡρμήθησαν οὖν ἑπτὰ ὄντες ἐπὶ τὰ βα-
σίλεια· καὶ οἱ φύλακες, ὁρῶντες τοὺς πρώτους τῶν Περ-
3 σῶν, οὐκ ἐτόλμησαν αὐτοῖς ἐναντιοῦσθαι. Ἐπειδὴ δὲ
παρῆσαν εἰς τὴν αὐλήν, πρὶν ἀγγελθῆναί τι τοῖς Μάγοις,
οἱ οἰκέται, οἷς ἐνετέταλτο τὰς ἀγγελίας εἰσφέρειν, ἐκώλυον
4 αὐτούς. Οἱ δ᾽ ἀποκτείναντες τοὺς ἐναντιουμένους τὴν
5 ταχίστην ἔθεον τοῦ πρόσω. Οἱ δὲ Μάγοι ἀκούσαντες τὸν
θόρυβον προσέθεον ὡπλισμένοι, ὁ μὲν τόξῳ, ὁ δὲ λόγχῃ.
6 Ὁ μὲν οὖν ἕτερος, πρὶν κατασφάττεσθαι, δύο τῶν ἐναντίων
τῇ λόγχῃ τιτρώσκει, τὸν μὲν εἰς τὸν μηρόν, τὸν δ᾽ εἰς
7 τὸν ὀφθαλμὸν παίων. Ὁ δ᾽ ἕτερος, καίπερ τεταμένον
ἔχων τὸ τόξον, οὐδὲν ἐπέρανεν, ὅτι οἱ πολέμιοι ἤδη ἐγ-
8 γύτερον ἦσαν. Ὁρῶν οὖν τὸν ἀδελφὸν διεφθαρμένον
φεύγει εἰς θάλαμόν τινα· Δαρεῖος δὲ καὶ Γωβρύας συνεισ-
9 πίπτουσιν αὐτῷ. Καὶ ὁ μὲν Γωβρύας συμπλέκεται τῷ
Μάγῳ, Δαρεῖος δ᾽ ἡσυχίαν ἔχει φοβούμενος, μὴ παίων

ἀμφοτέρους τοὺς συμπεπλεγμένους διαφθείρῃ· σκότος γὰρ ἦν ἐν τῷ θαλάμῳ. Τέλος δ' αὐτοῦ τοῦ Γωβρύου κελεύ- 10
οντος ἔπαισε τῇ μαχαίρᾳ καὶ ἀπέκτεινε τὸν Μάγον.

70.

Διαφθείραντες οὖν τοὺς Μάγους ἀποτέμνουσιν αὐ- 1
τῶν τὰς κεφαλὰς καὶ ἔξω θέουσιν, ὡς ἀγγελοῦντες τοῖς
ἄλλοις Πέρσαις, ἃ ἐποίησαν. Οἱ δ' ἐπαρθέντες τοῖς ἡγ- 2
γελμένοις καὶ ὀργισθέντες ὡρμήθησαν κατὰ τὴν πόλιν ὡς
διαφθεροῦντες τοὺς Μάγους, ὅπου τινὰ εὑρίσκοιεν.
Ἐπειδὴ δ' ὁ θρόνος ἐκαθάρθη τῶν Μάγων, οἱ ἑπτὰ βου- 3
λευόμενοι περὶ τοῦ μέλλοντος ἀπεφήναντο τὰς γνώμας.
Καὶ ἐδόκει αὐτοῖς ἐμμεῖναί τε τοῖς πατρίοις νόμοις καὶ 4
μὴ καταλῦσαι τὴν βασιλείαν. Ἐπειδὴ δὲ πάντες ἐνόμιζον 5
ταύτης τῆς τιμῆς ἄξιοι εἶναι, ἐδόκει αὐτοῖς, ἵνα τῇ τύχῃ
κριθείη ὁ ἀγών, τούτῳ νεῖμαι τὴν βασιλείαν, ὅτου ὁ
ἵππος ἡλίου ἀνατέλλοντος πρῶτος χρεμετίσειεν. Οἰβάρης 6
οὖν, ὁ τοῦ Δαρείου ἱπποκόμος, τῇ προτεραίᾳ τῆς κρίσεως
τὸν Δαρείου ἵππον εἰς τὸ προάστειον ἄγει καὶ εὐωχήσας
καὶ εὐφράνας ὡς δυνατὸν μάλιστα ἀπελαύνει εἰς τὸν σταθ-
μόν. Ἅμα δὲ τῇ ἡμέρᾳ οἱ ἄνδρες ἐπὶ τῶν ἵππων εἰς τὸν 7
τεταγμένον τόπον παρῆσαν. Ἐπειδὴ δ' ἐπλησίαζον τῷ 8
προσεσημασμένῳ χωρίῳ, ἐνταῦθ' ὁ Δαρείου ἵππος τῶν
τῆς προτεραίας ἡδέων μνήμην ἔχων ἐχρεμέτισεν. Καὶ ἅμ' 9
ὁ ἥλιος ἀνέτειλεν ἀστραπῆς ἐξ αἰθρίας καὶ βροντῆς γιγνο-
μένης, καὶ οἱ ἑταῖροι, νομίζοντες ταῦθ' ὑπὸ τῶν θεῶν
σεσημάνθαι, κατεπήδησαν ἀπὸ τῶν ἵππων καὶ τὸν Δα-
ρεῖον προσεκύνησαν.

Sturz des Polykrates.

71.

1 *Πολυκράτης, ὃς Σαμίων ἐτυράννευε κατὰ τὸν Καμ-*
βύσου χρόνον, πλούτῳ καὶ δυνάμει πάντων τῶν τότε τυ-
2 *ράννων περιῆν. Ἐπαρθεὶς δὲ τῇ δυνάμει — ἐκέκτητο γὰρ*
πεντηκοντόρους τε ναῦς ἑκατὸν καὶ χιλίους τοξότας — οὐ
μόνον ἐν τῇ Σάμῳ τὰ ἄνω κάτω ἐστρόφει, ἀλλὰ καὶ
3 *πρὸς τοὺς γείτονας ἐτράπετο. Ἐπεστρατεύσατο οὖν καὶ*
ἄλλοις πολλοῖς καὶ τοῖς Λεσβίοις· καὶ ἐτρέψατο τούτους
4 *ναυμαχίᾳ, ὥστε φυγεῖν εἰς τὴν νῆσον. Κρατήσας δὲ καὶ*
τῆς πόλεως κατέσφαξε πολλούς· οὓς δὲ κατελελοίπει, δε-
δεμένους ἀπήγαγεν εἰς Σάμον καὶ ἠνάγκασεν εὐρεῖαν τά-
5 *φρον περὶ τὸ τεῖχος τὸ ἐν Σάμῳ ὀρύξαι. Ἄμασις δέ, ὁ*
Αἰγυπτίων βασιλεύς, ᾧ Πολυκράτης ἔπεμψε δῶρα πολυτελέσ-
τατα καὶ συμμαχίαν ἐποιήσατο, ἐκπλαγεὶς ἐπὶ τοσαύτῃ
6 *εὐτυχίᾳ ἔγραψεν αὐτῷ τάδε· „Ἄμασις Πολυκράτει χαίρειν.*
Ἡδὺ μὲν πυνθάνεσθαι φίλον ἄνδρα εὖ πράττοντα· ἐμοὶ
δ᾽ οὐκ ἀρέσκουσιν αἱ σαὶ μεγάλαι εὐτυχίαι· ἡ γὰρ Τύχη
διέφθειρε πολλάκις, οὓς πολὺν χρόνον τέτροφε καὶ τεθερά-
7 *πευκεν. Σὺ οὖν, ἵνα φύγῃς τὸν τῆς Τύχης φθόνον, ὅ*
σοι φίλτατόν ἐστι καὶ ὃ ἥκιστ᾽ ἂν βούλοιο ἀποβαλεῖν,
τοῦτ᾽ ἀπόβαλε.“

72.

Ταῦτ᾽ ἐδόκει τῷ Πολυκράτει καλῶς συμβεβουλεῦσθαι,
καὶ πολὺν χρόνον λογισάμενος, τί ἂν ἀποβάλοι ἀηδέστατα,
2 *εὑρίσκει τόδε· Ἦν γὰρ αὐτῷ σφραγὶς χρυσόδετος, σμα-*
ράγδου λίθου οὖσα, ἔργον Θεοδώρου τοῦ Σαμίου, ἣν περὶ
3 *πλείστου ἐποιεῖτο. Ταύτην ἀποβαλὼν πεντηκόντορον πλη-*
ροῖ καὶ αὐτὸς ἐμβαίνει καὶ κελεύει αὐτὴν εἰς τὸν πόντον

ἀναγαγεῖν. Πάντων δ' ὁρώντων τὴν σφραγῖδα εἰς τὴν θάλατταν βαλὼν οἴκαδε κατέπλευσε λυπούμενος. Πέμπτῃ δ' ἢ ἕκτῃ ἡμέρᾳ ὕστερον ἁλιεύς τις παρῆν αὐτῷ μέγαν ἰχθὺν φέρων καὶ ἔλεγε τάδε· „Ὦ δέσποτα, τοῦτον τὸν ἰχθύν, καίπερ πένης ὤν, οὐκ ἐβουλόμην εἰς ἀγορὰν φέρειν. Σοῦ γὰρ μόνου ἐδόκει μοι ἄξιος εἶναι, ὅτι μέγας τέθραπται καὶ καλός· καὶ διὰ τοῦθ' ἥκω δεόμενός σου δέξασθαι αὐτόν." Καὶ ὁ μὲν Πολυκράτης ἐπαινέσας καὶ ἑστιάσας τὸν ἁλιέα ἀποπέμπει. Οἱ δὲ θεράποντες τὸν ἰχθὺν τέμνοντες ἐν τῇ γαστρὶ εὑρίσκουσι τὴν τοῦ δεσπότου σφραγῖδα. Ὁ δ' αὖθις εἰς ἡδονὴν τετραμμένος ταῦτα πάντ' ἐν ἐπιστολῇ γεγραμμένα ἀπήγγειλε τῷ Ἀμάσιδι. Ἔνθα δὴ Ἄμασις ἔτι μᾶλλον κατεπλάγη, ἐννοῶν τὸν τῆς Τύχης φθόνον οὐ τετράφθαι, καὶ κήρυκα πέμψας ἔλυσε τὴν ξενίαν.

73.

Καὶ οὐ πολὺ ὕστερον Πολυκράτης τῷδε τῷ τρόπῳ διεφθάρη· Καμβύσης γὰρ εἰς τὴν Αἴγυπτον στρατευόμενος Ὀροίτην κατέλιπεν ὕπαρχον ἐν Σάρδεσιν. Οὗτος οὖν λέγεται κήρυκα πέμψαι εἰς Σάμον δεησόμενόν τι τοῦ Πολυκράτους. Ὁ δέ, ὅτε παρῆν ὁ κῆρυξ, κατεκέκλιτο ἐν τῷ ἀνδρῶνι μετ' Ἀνακρέοντος τοῦ Τηΐου. Καὶ ἐστραμμένος πρὸς τὸν τοῖχον οὔτε μεταστραφῆναι λέγεται οὔτ' ἀποκρίνασθαι οὐδὲν τῷ κήρυκι. Ὀροίτης δ' ὠργισμένος, ὅτι ὑβρισθεὶς ὁ κῆρυξ ἀπεστάλη παρὰ Πολυκράτους, ἐβουλεύσατο, ὅπως αὐτὸν διαφθερεῖ. Ἤγγειλεν οὖν αὐτῷ μετ' οὐ πολὺν χρόνον τάδε· „Ἡδέως ἂν συναλλαγείην σοι, ὦ Πολύκρατες, Καμβύσην γὰρ ὁρῶ μοι ἐπιβουλεύοντα. Ἐὰν δ' ἀλλήλοις συμμαχῶμεν, πιστεύω καὶ σὲ τοῖς ἐμοῖς χρήμασι χρώμενον πάσης τῆς Ἑλλάδος κρατήσειν καὶ αὐτὸς

οὐ βλαβήσεσθαι ὑπὸ βασιλέως.“ Ὁ δὲ Πολυκράτης ταύτῃ τῇ ἀγγελίᾳ ἡσθεὶς πιστὸν ἄνδρα ἔπεμψεν εἰς Σάρδεις, ὡς θεασόμενον τὰ ἐκείνου χρήματα. Ὀροίτης δ' ὀκτὼ ἀγγεῖα μεγάλα λίθων πληρώσας ἄνω χρυσὸν ἐπέβαλεν, ὥσθ' ὁ τοῦ Πολυκράτους ἄγγελος σφαλεὶς ἀπήγγειλε τῷ δεσπότῃ πάντα τῷ Ὀροίτῃ χρυσοῦ εἶναι μεστά.

74.

Οὕτω δὴ Πολυκράτης κεναῖς ἐλπίσι βλαβεὶς παρεσκευάζετο εἰς τὴν Ἰωνίαν πλεῦσαι, ὡς συναλλαγησόμενος τῷ Ὀροίτῃ. Ἡ δὲ θυγάτηρ αὐτοῦ, δεινῷ καταπλαγεῖσα ἐνυπνίῳ, ἐδεήθη τοῦ πατρὸς μὴ πεισθῆναι τῷ Πέρσῃ. Ἐδόκει γὰρ ὅναρ αὐτῇ ὁ πατὴρ μετέωρος ὢν λούεσθαι μὲν ὑπὸ τοῦ Διός, χρίεσθαι δ' ὑπὸ τοῦ Ἡλίου. Πολυκράτης δὲ (οὐ γὰρ ἐτράπη αὐτῷ ἡ γνώμη) κατέλιπεν ἐκείνην οἰμώζουσαν καὶ φόβῳ τεταραγμένην. Ἐπειδὴ δὲ κατέπλευσεν εἰς τὴν Ἀσίαν (ἐκάλεσε δ' αὐτὸν ὁ Ὀροίτης εἰς Μαγνησίαν), κατεσφάγη αἴσχιστα. Καὶ ἀποκτείνας αὐτὸν ὁ Ὀροίτης ἀνεσταύρωσεν, ὥστ' ἐτελέσθη τὸ τῆς θυγατρὸς ἐνύπνιον. Οὐ γὰρ ἐτάφη, ἀλλ' ἀνεσταυρωμένος ἐλούετο μὲν ὑπὸ τοῦ Διός, ἐχρίετο δ' ὑπὸ τοῦ Ἡλίου, οὐ ταῖς αὐγαῖς τὸ σῶμα ἐτάκη. Οὕτω δὴ ὁ Πολυκράτης μεγάλαις εὐτυχίαις ἐπαρθεὶς οὐκ ἔφυγε τὸν φθόνον τὸν τῆς Τύχης. Ὁ δ' Ὀροίτης ἀπηλλαγμένος τούτου τοῦ ἐχθροῦ ἐνόμιζε πολλὰ κερδῆναι, οὐκ ἐλπίζων ὁμοιοτάτῳ κακῷ διαφθαρήσεσθαι. Ἀλλ' οὐ πολλῷ χρόνῳ ὕστερον καὶ αὐτὸς δόλῳ αἰσχρῶς ἐτελεύτησεν.

75. Dareios läfst den Oroites töten.

Δαρεῖος γὰρ μετὰ τὸν τῶν Μάγων φόνον τῆς βασιλείας κρατήσας ἐπεθύμησε τὸν Ὀροίτην ἐκποδὼν ποιεῖσθαι.

Καὶ γὰρ ἐφάνη οὐδὲν φροντίζων βασιλέως, ὅτι καὶ Μιτρο- 2
βάτην, ὕπαρχον αὐτοῦ, ἀπέκτεινεν, καὶ ἄγγελον, ὃν Δαρεῖος
πρὸς αὐτὸν ἀπέστειλεν, μετὰ τοῦ ἵππου ἠφάνισεν. Ἐδόκει 3
δὲ βασιλεῖ οὐ βίᾳ χρήσασθαι, ἀλλὰ δόλῳ, ἐπεὶ ἡ ἀρχή γ'
αὐτῷ οὔπω βεβαία ἦν. Ἀπεστάλη οὖν Βαγαῖος, ἀνὴρ 4
πιστότατος, Ὀροίτην ἢ ζῶντ' ἀγαγεῖν ἢ ἀποκτεῖναι. Οὗτος 5
οὖν βιβλία ἔχων, ἃ ἐγράφη ὑπὸ τοῦ βασιλέως γραμματέως,
παρῆν εἰς Σάρδεις. Καὶ πρῶτον μὲν τῶν δορυφόρων 6
ἐπειρᾶτο, ἕν ἕκαστον τῶν βιβλίων φαίνων. Ὁρῶν δ' αὐ- 7
τοὺς τὰ γράμματα αἰδουμένους μεγάλως — ἐπέβαλε γὰρ
τὴν Δαρείου σφραγῖδα — τὸν τοῦ Ὀροίτου γραμματέα
ἐκέλευσεν ἀναγιγνώσκειν αὐτά. Ἐγέγραπτο δ' ἐν ἑνὶ τάδε· 8
„Ὦ Πέρσαι, βασιλεὺς Δαρεῖος ἀπαγορεύει ὑμῖν μὴ δορυ-
φορεῖν Ὀροίτῃ." Ἐπειδὴ δ' ἐκεῖνοι ἐφάνησαν πειθόμενοι 9
τοῖς λόγοις, ἐνταῦθα δὴ καὶ τὸ τελευταῖον τῶν βιβλίων
κελεύει ἀναγιγνώσκειν. Ἀκούσαντες δέ, ἃ ἐνῆν· „Βασιλεὺς 10
Δαρεῖος τοῖς ἐν Σάρδεσι Πέρσαις ἐντέλλεται ἀποκτεῖναι
Ὀροίτην," ἐπείσθησαν αὐτίκα. Οὕτω δὴ Ὀροίτης ὑπὸ τῶν 11
ἑαυτοῦ δορυφόρων κατεκόπη.

Die messenischen Kriege.

76. Ursache der Feindschaft zwischen Spartanern und Messeniern.

Μετὰ τὰ Τρωϊκὰ οἱ Δωριεῖς εἰσβαλόντες εἰς τὴν 1
Πελοπόννησον κατήγαγον τοὺς Ἡρακλείδας, βουλόμενοι
αὐτοῖς ἀποδιδόναι τὴν χώραν. Βουλευομένων δ' αὐτῶν, 2
τίνα τρόπον διαδιδοῖεν τὸ ὅλον, Τήμενος, πρεσβύτατος
ὢν τῶν Ἡρακλειδῶν, ἠξίωσεν ἑαυτῷ δοῦναι τὸ Ἄργος.

3 Ἐπιδεικνὺς δέ, ὅτι δικαίως ἂν τῷ πρεσβυτάτῳ ἀποδοῖεν,
4 ἣν βούλοιτο χώραν, οὐ χαλεπῶς ἔπεισεν αὐτούς. Τῆς δὲ
Μεσσηνίας, ἅτε πολὺ εὐδαιμονεστέρας οὔσης τῆς Λακωνικῆς,
5 Κρεσφόντης ἐπεθύμει. Θήρας δέ, ὁ τῶν Ἀριστοδήμου
παίδων ἐπίτροπος — ἐτελεύτησε γὰρ ὁ Ἀριστόδημος, πρὶν
εἰσβαλεῖν αὐτοὺς εἰς τὴν Πελοπόννησον — ἐπεδείκνυ,
ὅτι ἀδικήσουσι τοὺς παῖδας, ἐὰν μὴ μεταδῶσιν αὐτοῖς τῆς
6 Μεσσηνίας. Καὶ ὁ Κρεσφόντης, ὁρῶν αὐτὸν οὐδὲν ἐνδι-
δόντα, ἔλεγε τῷ Τημένῳ παραδοτέαν εἶναι τὴν χρίσιν·
7 τούτῳ δ' ἔδωκε χρήματα, ἵν' ἐκείνους βλάψειεν. Τήμενος
οὖν, τοῖς χρήμασι διεφθαρμένος, προδίδωσι τοὺς Ἀριστο-
δήμου παῖδας, λέγων τούτῳ τὴν χώραν παραδώσειν, ὃς
8 τῇ τύχῃ ἀποδεικνύοιτο. Κελεύσας γὰρ ἀμφοτέρους
κληροῦσθαι διέφθειρε τὸν ἐκείνων κλῆρον, ὥσθ' ἡ Μεσση-
9 νία ἐδόθη τῷ Κρεσφόντῃ. Ἡ μὲν οὖν ἀρχὴ τῆς πρὸς
τοὺς Μεσσηνίους ἔχθρας αὕτη ἦν· ἄλλην δ' αἰτίαν ὕστερον
10 ἀπέδειξαν τήνδε· Ἦν γὰρ ἐπὶ τοῖς ὁρίοις τοῖς τῆς
Μεσσηνίας ἱερὸν Ἀρτέμιδος, οὗ οἱ Μεσσήνιοι μετεδεδώ-
11 κεσαν τοῖς Λακεδαιμονίοις. Ἐν τούτῳ οὖν τῷ ἱερῷ
Τήλεκλος, ὁ τῶν Λακεδαιμονίων βασιλεύς, καὶ οἱ περὶ
12 αὐτὸν κατεσφάγησαν ὑπὸ τῶν Μεσσηνίων. Ἔλεγον δ' οἱ
φονεύσαντες, ὅτι Τήλεκλος δίκην δοίη τῆς ἑαυτοῦ ὕβρεως·
ἐπιβουλεῦσαι γὰρ αὐτὸν τοῖς ἀρίστοις τῶν Μεσσηνίων
13 μαχαίρας δόντα τοῖς περὶ αὐτόν. Οἱ δὲ Λακεδαιμόνιοι
χαλεπῶς μὲν ἔφερον τοῦτο τὸ πρᾶγμα, χαλεπώτερον δέ, ὅτι
οἱ Μεσσήνιοι τοὺς φονέας οὐκ ἐξέδοσαν.

77. Veranlassung zum ersten Kriege.

1 Καὶ τότε μὲν ἡσυχίαν ἦγον, καίπερ ἐχθρῶς διατε-
θέντες πρὸς τοὺς Μεσσηνίους· οὐ πολὺ δ' ὕστερον ἐφά-
νησαν οὐκ ἀφέντες τὴν ὀργήν, ἀλλ' ἡδέως αὐτοὶ καινὴν

ἔχθρας αἰτίαν προστιθέντες. Πολυχάρης γὰρ Μεσσήνιος 2
βοῦς πολλὰς κεκτημένος καὶ νομὰς οὐκ ἔχων ἱκανὰς δίδωσιν
αὐτὰς Εὐαίφνῳ Λακεδαιμονίῳ νέμειν καὶ ἀφίησι τὸν ἄνδρα
εἰς τὴν Λακεδαίμονα, ἐπαγγελλόμενος τῶν καρπῶν αὐτῷ
μεταδώσειν. Ὁ δ' Εὔαιφνος εἰς πλοῖον αὐτὰς ἐνέθετο 3
καὶ καταπλεύσας εἰς τὴν Λακωνικὴν αὐτὸς ἀπέδοτο ἐμπόροις.
Τῶν δὲ χρημάτων οὐδὲν τῷ Πολυχάρει κατέθηκεν, φάσκων 4
λῃστὰς ἐξαίφνης ἐπιθέσθαι αὐτῷ καὶ λείαν βοῦς τ' ἀγα-
γέσθαι καὶ βουκόλους. Τῶν δὲ βουκόλων τις ἀποφυγὼν 5
τοὺς ἐμπόρους τῷ Πολυχάρει πᾶσαν τὴν ἀλήθειαν ἀπο-
δείκνυσι διηγούμενος, ὡς ἐκεῖνος ἀπέδοτο τὰς βοῦς. Τότε 6
δὴ ὁ Εὔαιφνος, ὁρῶν ἀνιώμενον τὸν Πολυχάρη, δεῖται
αὐτοῦ μὴ δίκην ἐπιθεῖναι ἑαυτῷ, ἐπαγγελλόμενος πάντ'
αὐτῷ ἀποδώσειν. „Τὰ δὲ χρήματα," ἔφη, „ἐν τῇ Λακε- 7
δαίμονι κατατέθειμαι· εἰ οὖν τὸν παῖδά μοι συμπέμψειας,
πάντ' ἂν καταθείην αὐτῷ." Ταῦτα συνθέμενοι συνηλλά- 8
γησαν· καὶ ὁ μὲν Πολυχάρης ἀφῆκε τὸν Εὔαιφνον οὐδε-
μίαν δίκην ἐπιθείς, ὁ δ' Εὔαιφνος ἐν τῇ ὁδῷ ἀνοσιώτερον
ἔργον τῷ προτέρῳ προσέθηκεν· ἐφόνευσε γὰρ Πολυχάρους
τὸν υἱόν. Ὁ δὲ χαλεπῶς διατεθεὶς πρὸς τὸν κακοῦργον 9
εἰς τὴν Λακεδαίμονα ἐπορεύθη, ὡς ἐξαιτήσων αὐτόν· ἀλλ'
οὔθ' οἱ ἔφοροι οὔθ' οἱ βασιλεῖς προσεῖσαν τὸν Μεσσήνιον,
καίπερ ἰσχυρῶς αὐτοῖς ἐπιτιθέμενον. Ἐπειδὴ δ' ἑώρα 10
αὐτοὺς οὔτε δακρύοις οὔτ' ἀπειλαῖς οὐδὲν ὑφεμένους,
ἐνεδίδου τῷ θυμῷ καὶ εἰς πᾶσαν τόλμαν ἑαυτὸν προϊεὶς
ἐφόνευεν, ὃν καταλαμβάνοι ἄνδρα Λακεδαιμόνιον.

78. Vergebliche Verhandlungen.

Βουλόμενοι οὖν τὸν Πολυχάρη εἰς δίκην καθιστάναι 1
πρέσβεις ἔπεμψαν κελεύοντας τοὺς Μεσσηνίους ἐκδοῦναι τὸν
ἄνθρωπον. Οἱ δ' οὐκ ἐξέδοσαν λέγοντες, ὅτι αὐτοὶ οἱ 2

Λακεδαιμόνιοι τὸν Πολυχάρη εἰς ὀργὴν καὶ μανίαν κατα-
3 στήσειαν οὐκ ἐκδιδόντες τὸν Εὔαιφνον. Ταῦτ᾽ ἀκούσαντες
οἱ Λακεδαιμόνιοι βαρέως ἔφερον καὶ οὐκ ἐλπίζοντες τὰ
πράγματ᾽ ἄλλως εἰς τὸ δέον καταστήσειν αὖθις πρέσβεις
ἔπεμψαν πόλεμον κηρύξοντας, εἰ μὴ δίκην δοίη ὁ Πολυ-
4 χάρης. Οἱ δὲ βασιλεῖς τῶν Μεσσηνίων Ἀντίοχος καὶ
Ἀνδροκλῆς — δύο γὰρ προειστήκεσαν αὐτῶν ὥσπερ ἐν
Λακεδαίμονι — τοῖς μὲν πρέσβεσιν ἀπεκρίναντο, ὅτι βου-
λευσάμενοι μετὰ τοῦ δήμου τὰ ἐψηφισμένα εἰς Σπάρτην
ἐπιστελοῦσιν, αὐτοὶ δὲ μεταστήσαντες ἐκείνους ἐκκλησίαν
5 συνεκάλεσαν. Ἔνθα δὴ οἱ βασιλεῖς διέστησαν ταῖς γνώ-
μαις· Ἀνδροκλῆς γὰρ ἀναστὰς ἔπειθε τοὺς πολίτας
6 ὑφέσθαι τοῖς Λακεδαιμονίοις, ἅτε δίκαια ἀξιοῦσιν. Τούτῳ
δ᾽ ἀνθίσταται ἰσχυρῶς Ἀντίοχος λέγων τοιάδε· „Ἄνδρες
πολῖται, ὅτι ἀνόσια εἴργασται ὁ Πολυχάρης, οὐδ᾽ ἐγὼ ἀντι-
λέγω· ὅμως δ᾽ οὔποτ᾽ ἔγωγε προήσομαι αὐτὸν εἰς ζημίαν.
7 Πρῶτον μὲν γὰρ καὶ τὸν Εὔαιφνον ἔδει δίκην δοῦναι τῶν
πολλῶν ἀδικημάτων, οἱ δὲ Λακεδαιμόνιοι τοῦτ᾽ οὐκ ἐφίεσαν
τῷ Πολυχάρει· πῶς οὖν ἡμῖν ἔξεστι τοῦτον αὐτοῖς ἐκδι-
8 δόναι; Εἶτ᾽ οὐ διὰ τὸν Πολυχάρη μέλλουσιν ἡμῖν πολε-
μεῖν, ἀλλ᾽ ὅτι τῆς ἡμετέρας ἐφίενται χώρας. Ἦ οὐχ
ὁρῶμεν αὐτοὺς διὰ τὴν πλεονεξίαν ἀεὶ τοῖς τ᾽ Ἀργείοις καὶ
τοῖς Ἀρκάσι διισταμένους; Μὴ τοίνυν ἐκδῶτε τὸν
9 Πολυχάρη· ἀλλ᾽ ἵνα φανῆτε μὴ πολέμου ἐπιθυμοῦντες,
ἀποκρίνασθε αὐτοῖς, ὡς Ἀργείοις ἢ Ἀθηναίοις ἐφήσομεν
10 δικάζειν τὴν δίκην. Εἰ μὲν γὰρ τῇ ἀληθείᾳ βούλονται τὸ
πρᾶγμα καταστῆσαι, προσθήσονται ταύτῃ τῇ γνώμῃ, εἰ
δὲ μή, μάτην ὑφησόμεθα τὸν Πολυχάρη ἐκδιδόντες.“

Erster messenischer Krieg.

79. Die Spartaner nehmen Ampheia weg.

Οἱ μὲν οὖν βασιλεῖς οὕτω διέστασαν· οἱ δὲ πολῖται 1
καὶ αὐτοὶ διαφερόμενοι πολὺν χρόνον ἤριζον ἀλλήλοις.
Τέλος δ' οἱ περὶ Ἀνδροκλέα καὶ οἱ περὶ Ἀντίοχον συ- 2
στάντες λαμβάνουσι τὰ ὅπλα καὶ χεῖρας συμμιγνύασιν,
καὶ οἱ περὶ Ἀντίοχον, ἅτε πολὺ πλείονες ὄντες, ἀποκτεί-
νουσι τόν τ' Ἀνδροκλέα καὶ τῶν περὶ αὐτὸν τοὺς λόγου
ἀξιωτάτους. Ἀντίοχος οὖν μόνος ἐφεστηκὼς τῇ πολιτείᾳ 3
ἐκήρυξε τοῖς Λακεδαιμονίοις, ὅτι ἐκδιδόναι μὲν οὐ δύ-
ναιτο τὸν Πολυχάρη, πάσης τῆς πολιτείας ἀνθισταμένης·
προσθήσοιτο δέ, εἰ διαιτηταὶ καταστᾶεν ἢ Ἀργεῖοι,
συγγενεῖς ὄντες ἀμφοτέροις, ἢ ὁ τῶν Ἀθηναίων Ἄρειος
πάγος. Οἱ δὲ Λακεδαιμόνιοι οὐδὲν λέγονται ἀποκρίνασθαι· 4
κρύφα δ' ὡς ἐδύναντο τάχιστα παρεσκευάσαντο, ὡς ἐπι-
θησόμενοι τοῖς Μεσσηνίοις. Λέγονται δὲ καὶ ὅρκους 5
ποιήσασθαι πρὸς ἀλλήλους μὴ ἀποστήσεσθαι τοῦ πολέ-
μου, πρὶν δούλους καταστήσειαν τοὺς Μεσσηνίους. Μησὶ 6
δ' οὐ πολλοῖς ὕστερον Ἀντιόχου τελευτήσαντος Εὐφάης ὁ
Ἀντιόχου τῶν Μεσσηνίων προέστη. Οἱ δὲ Λακεδαι- 7
μόνιοι, ἐπειδὴ ἐνόμιζον πάνθ' ἑαυτοῖς εἰς τὴν στρατείαν
παρεσκευάσθαι, νυκτὸς ἔξοδον ἐποιήσαντο ἐπ' Ἄμφειαν,
ἐπιστήσαντες τῷ στρατεύματι Ἀλκαμένη τὸν Τηλέκλου.
Ἡ δ' Ἄμφεια πόλισμα ἦν οὐ μέγα ἐπὶ τοῖς ὁρίοις τῆς 8
Μεσσηνίας ἐπὶ λόφου ὑψηλοῦ κείμενον. Ἐκράτησαν δ' 9
αὐτοῦ οὐ χαλεπῶς· φυλακῆς γὰρ οὐ καθεστώσης οἱ ἐνοι-
κοῦντες οἱ μὲν ἐν αὐταῖς ταῖς εὐναῖς κατεσφάγησαν, πρὶν
ἀνθίστασθαι, οἱ δ' εἰς τὰ ἱερὰ καταφυγόντες ἐπὶ τοῖς

10 βωμοῖς ἐφονεύθησαν. Ταύτην τὴν ἔξοδον οἱ Λακεδαιμόνιοι ἔτει δευτέρῳ τῆς ἐνάτης Ὀλυμπιάδος ἐποιήσαντο.

80. Euphaes ermutigt die Messenier.

1 Ἀλκαμένης μὲν οὖν ἐνέπλησε τὴν τῶν στρατιωτῶν ὀργήν, ἐφιεὶς αὐτοῖς τήν τε πόλιν διαρπάσαι καὶ τῶν ἐνοι-
2 κούντων τοὺς πλείστους κατασφάξαι. Οἱ δὲ Μεσσήνιοι ταῦτ' ἀκούσαντες τῶν ἐκπεφευγότων ἐξεπλάγησαν· ἐνενόουν γάρ, ὅτι οἱ Λακεδαιμόνιοι ὀνήσονται πολλὰ εἰς τὸν πό-
λεμον ταύτῃ τῇ πόλει χρώμενοι· ὥστ' Εὐφάης συγκαλέσας
3 τοὺς πολίτας εἰς Στενύκληρον παρῄνει τοιάδε· „Μὴ ἀθυ-
μήσητε, ὦ ἄνδρες πολῖται, ἐπὶ τῇ Ἀμφείας συμφορᾷ· οὐ
γὰρ ἐκ μιᾶς πόλεως κρέμαται ἡ τῆς πατρίδος σωτηρία,
4 ἀλλ' ἐκ τῆς ὑμετέρας ἀρετῆς. Χρὴ δ' ὑμᾶς, ὁρῶ γὰρ πολ-
λοὺς οὐκ ἐπισταμένους τοῖς ὅπλοις χρῆσθαι, ὡς μάλιστα
περὶ τὰ πολεμικὰ σπουδάζειν, ἵνα δύνησθε τοῖς πολεμίοις
5 ἀνθίστασθαι. Ὅστις δ' ἂν καὶ μαχιμώτατος καὶ πολέμου
ἐμπειρότατος γίγνηται, τοῦτον καὶ οἱ πολῖται καὶ οἱ πο-
λέμιοι ἄγανται μάλιστα· δύναται γὰρ τῇ ἀνδρείᾳ καὶ
τὴν πόλιν ὀνινάναι καὶ τοὺς πολεμίους βλάπτειν ἰσχυρῶς.“
6 Τούτοις τοῖς λόγοις ἐνεπλήσθησαν οἱ Μεσσήνιοι θυμοῦ
καὶ ἐλπίδων καὶ τὰ περὶ τὸν πόλεμον ἤσχουν πάσῃ σπουδῇ.
7 Οἱ δὲ Λακεδαιμόνιοι πολλάκις εἰς τὴν Μεσσηνίαν εἰσβάλ-
λοντες ἔφερον μὲν καὶ ἦγον, ὡς ἐδύναντο μάλιστα, οἰκίας
δ' οὐκ ἐνεπίμπρασαν λογιζόμενοι αὐτοὶ ὀνήσεσθαι μὴ
8 διαφθείροντες τὴν χώραν, ἣν ἤδη ἑαυτῶν ἐνόμιζον. Οἱ
δ' αὖ Μεσσήνιοι καὶ αὐτοὶ εἰς τὴν Λακωνικὴν εἰσβάλ-
9 λοντες διήρπαζον τὰ τῶν πολεμίων. Πέμπτῳ δ' ἔτει τοῦ
πολέμου ἀμφότεροι, θυμοῦ καὶ ὀργῆς ἐμπεπλησμένοι,
10 περὶ τῶν ὅλων ἐκινδύνευσαν. Καὶ τῶν μὲν Λακεδαι-
μονίων ἡγοῦντο οἱ βασιλεῖς, Θεόπομπος μὲν τοῦ δεξιοῦ

κέρατος, Πολύδωρος δὲ τοῦ εὐωνύμου. Ὁ δ' Εὐφάης 11
Πυθάρατον καὶ Ἄντανδρον ἀπέδειξε στρατηγούς· τούτων
γὰρ οὐ μόνον τὴν ἀνδρείαν ἠγάσθη, ἀλλὰ καὶ ὅτι τὰ
περὶ τὸν πόλεμον ἠπίσταντο κάλλιστα. Αὐτὸς μὲν οὖν 12
καὶ Ἄντανδρος τῷ Θεοπόμπῳ ἀντιπαρετάχθησαν, τὸν δὲ
Πυθάρατον ἀντέστησε Πολυδώρῳ.

81. Ansprachen der Befehlshaber.

Πρὶν δ' ἀμφοτέρους συμμῖξαι χεῖρας, Θεόπομπος 1
λόγοις οὐ πολλοῖς τοὺς Λακεδαιμονίους παρώξυνεν ἐπι-
δεικνύς, ὡς οἱ πατέρες αὐτῶν τῇ τε Κρεσφόντου ἀπάτῃ
τὴν Μεσσηνίαν ἀπολέσειαν καὶ ἄλλα πολλὰ ὑπ' ἐκείνων
ἀδικηθεῖεν. Εὐφάης δέ, καθ' ὅσον συνεχώρει ὁ καιρός, 2
τοῖς ἑαυτοῦ θυμὸν ἐνετίθει, λέγων τοιάδε· „Ἄνδρες 3
Μεσσήνιοι, ἐὰν μὲν τήμερον διαρρήξητε τὴν τῶν πολε-
μίων φάλαγγα, ἥ τε πατρὶς σωθήσεται καὶ ὑμῶν ἡ δόξα
οὐπώποτ' ἀποσβήσεται· ἐὰν δ' ἡττηθῆτε, οὐ μόνον ἐκείνην
ἀπολεῖτε, ἀλλὰ καὶ αὐτοὶ πάντες συναπολεῖσθε. Ἐν- 4
νοεῖτε γάρ, ὅτι ἐκείνοις ἡ πρὸς ἡμᾶς ἔχθρα ἐκ παλαιοῦ
ἐμπέφυκε καὶ ἐμπέπηγεν, καὶ ὅτι ὀμωμόκασιν ὅρκον μέγαν
μὴ παύσεσθαι τοῦ πολέμου, πρὶν ἂν ἐμπλησθῶσι τοῦ ἡμε-
τέρου αἵματος καὶ ἀπολέσωσι πᾶν τὸ Μεσσηνικὸν γένος.
Πῶς γὰρ κωλύσετε αὐτούς, ἐὰν ὑμᾶς διασκεδάσωσι καὶ 5
κατασφάξωσιν, τὰς μὲν πόλεις ὑμῶν ἐμπρῆσαι, τὰ δ' ἱερὰ
διαρπάσαι, τὰς δὲ γυναῖκας καὶ τὰ τέκνα εἰς τὴν δουλείαν
ἀγαγεῖν; Τίς οὖν οὐκ ἂν μᾶλλον βούλοιτο ἀπολέσθαι 6
καλῶς ἢ τοιούτῳ πολεμίῳ ἑαυτὸν παραδοῦναι; Μή τοι 7
ἐλπίζετε ἐκείνοις πώποτε συναλλαγήσεσθαι· ῥᾷον γὰρ ἂν
ὕδωρ κερασθείη πυρὶ ἢ βοῦς λύκῳ συζυγείη. Ἄγετε δή, 8
ὀμόσατε μὴ ἐάσειν ἐκείνους τὴν Μεσσηνίαν δουλοῦσθαι,
ἀλλὰ κολάσεσθαι αὐτῶν τὸ φρόνημα, ἵνα παύωνται τῆς

9 ὑμετέρας χώρας ὀρεγόμενοι.“ Τοιούτοις οὖν λόγοις ἐπιρ-
ρωσθέντες οἱ Μεσσήνιοι δρόμῳ ἐπὶ τοὺς πολεμίους ἵεντο,
ὡς ἢ ἐκείνους διαφθεροῦντες ἢ αὐτοὶ ἀπολούμενοι λαμ-
10 πρῶς. Οἱ δὲ Λακεδαιμόνιοι, καίπερ ἐφιέμενοι ὡς τάχιστα
χεῖρας συμμιγνύναι τοῖς ἐναντίοις, ὅμως βραδύτερον
προσήλαυνον· ἐφοβοῦντο γάρ, μὴ δρόμῳ ἐπιτιθεμένοις
διασπασθείη αὐτοῖς ἡ φάλαγξ.

82. Verlauf der Schlacht.

1 Καὶ μὴν οὐ μόνον τέχνῃ πολὺ διέφερον τῶν ἐναν-
τίων, ἀλλὰ καὶ πλήθει. Ἐκεῖνοι μὲν γὰρ ἄνευ συμμάχων
μόνοι ἐποιοῦντο τὸν ἀγῶνα, τοῖς δὲ Λακεδαιμονίοις παρῆ-
σαν καὶ Κρῆτες τοξόται μισθοφόροι καὶ οἱ περίοικοι τότ᾽
ἤδη τοῖς Σπαρτιάταις μεμιγμένοι ἐμάχοντο, πρὸς δὲ τού-
τοις καὶ Ἀσιναῖοι καὶ Δρύοπες, ἀνάγκῃ αὐτοῖς συνεζευγ-
2 μένοι, τῆς μάχης μετεῖχον. Ὁρῶντες δὲ τὴν τῶν Μεσ-
σηνίων φάλαγγα τῷ δρόμῳ ἤδη ἀναπεπταμένην ἐπίσ-
3 τευον οὐ χαλεπῶς αὐτοὺς διαρραγήσεσθαι. Οἱ δέ,
ἐπειδὴ χεῖρας συνέμιξαν, ἀνδρειοτάτους ἑαυτοὺς παρεῖχον,
4 πάντων δ᾽ ἡρίστευεν Εὐφάης. Τοῦτον δ᾽ ὁρῶν ὁ Θεό-
πομπος τοῖς προμάχοις μεμιγμένον ὁρμᾶται ἐπ᾽ αὐτόν,
ὡς ἀποκτενῶν· ὁ δὲ καὶ αὐτὸς ἐπιθυμῶν ἀπολέσαι τὸν
5 ἐχθρὸν τοῦ πρόσω ἵεται. Οἱ δ᾽ ἑκατέρωθεν στρατιῶται
τὴν τῶν βασιλέων ἀρετὴν ἀγάμενοι οὕτως ἰσχυρῶς ἐσπού-
δαζον περὶ τὸν ἀγῶνα, ὥστε καὶ τῶν κειμένων πολλοὺς
6 ἐπιρρωσθέντας αὖθις ἀνίστασθαι εἰς τὴν μάχην. Καὶ
οἱ μὲν βασιλεῖς, ἴσοι ὄντες ἀρετὴν καὶ ἰσχύν, οὐκ ἐδυνή-
θησαν ἀλλήλων περιγίγνεσθαι· οἱ δὲ περὶ τὸν Εὐφάη τόν
7 τε Θεόπομπον ἐτρέψαντο καὶ τὴν φάλαγγα αὐτοῦ. Ἐν δὲ
τούτῳ τὸ ἕτερον κέρας τὸ τῶν Μεσσηνίων διεζεύχθη ἀπὸ
τοῦ ἄλλου στρατεύματος καὶ ἐκινδύνευσε διαφθαρῆναι· ἤδη

γὰρ ἀπωλώλει Πυθάρατος καὶ τῶν περὶ αὐτὸν πολλοί, τῶν δὲ λοιπῶν κατεάγει ἡ ψυχή. Τῶν δὲ στρατῶν οὕτω 8
διακειμένων νὺξ ἐπιγίγνεται, ὥστε μηδένα δύνασθαι φίλον καὶ πολέμιον διακρίνειν. Ἐδόκει οὖν καὶ Μεσσηνίοις καὶ 9
Λακεδαιμονίοις θέσθαι τὰ ὅπλα κατὰ χώραν καὶ συλλέξαι τοὺς διεσκεδασμένους· τῇ ὑστεραίᾳ δ' οὔτ' εἰς μάχην ἀλλήλοις ἀντετάχθησαν οὔτε τρόπαιον ἔστησαν οὐδέτεροι.

83. Das Glück verläfst die Messenier. Sie besetzen die Bergfeste Ithome.

Οἱ δὲ Μεσσήνιοι, καίπερ οὐ νικήσαντες τοὺς Λακεδαι- 1
μονίους, ὅμως ἐχάρησαν γνόντες ἐκείνους οὐκ ὄντας ἀμάχους. Ἀλλ' οὐ πολὺ ὕστερον κακῶς ἀποβάντων πάν- 2
των τῶν πραγμάτων μείζων ἀθυμία αὐτοῖς ἐνέφυ τοῦ πρότερον θάρρους. Οὐ γὰρ δυνάμενοι ἀνθίστασθαι εἰς 3
ἀγῶνα πρὸς τοὺς Λακεδαιμονίους ἀπέγνωσαν τοῦ μάχεσθαι, καὶ ὁρῶντες ἐκείνους ἀπείρως ἔχοντας τοῦ πολιορκεῖν ἐβούλοντο μᾶλλον εἰς τὰς πόλεις καταδῦναι. Συν- 4
έβη δ' αὐτοῖς καὶ ταύτην τὴν ἐλπίδα ἀποσβῆναι· ἐν γὰρ ταῖς πόλεσιν, ἅτε ἀνθρώπων ἐμπεπλησμέναις, νόσοι κακαὶ ἐγίγνοντο, ὥστε πολλοὺς ἀπολέσθαι. Καὶ ἐπειδὴ τῶν 5
ἐπιβιόντων τὸ πλῆθος οὐκέτι ἱκανὸν ἦν τοὺς πολεμίους ἀμύνασθαι, πολλαὶ τῶν ἐν τῷ πεδίῳ πόλεων κατ' ὀλίγον ἁλοῦσαι διηρπάσθησαν. Πρὸς δὲ τούτοις καὶ οἱ δοῦλοι 6
ἀποδράντες πρὸς τοὺς πολεμίους ἔτι μείζω ἀθυμίαν ἐνεποίησαν αὐτοῖς. Πολλοὺς μὲν οὖν ἀνθρώπους, πολλὰ δὲ 7
χρήματ' ἀπολέσαντες τέλος ἔγνωσαν εἰς τὰ ὄρη ἀναβάντες τοὺς Λακεδαιμονίους ἀμύνασθαι. Ἦν δ' ἐν τοῖς 8
ὄρεσι τοῖς πρὸς ἕω χωρίον ἐχυρὸν καὶ δύσβατον, Ἰθώμη ὄνομα· εἰς τοῦτ' οὖν συρρυέντες, ὅσοι λοιποὶ ἦσαν, ἑαυτούς τ' ἔσωσαν καὶ τὰ χρήματα. Ἐδόκει δὲ καὶ τὸν

Ἀπόλλω ἐπερωτᾶν, τί δέοι ποιεῖν, ἵνα μὴ πᾶν τὸ τῶν
10 Μεσσηνίων γένος ἀποσβείη. Χρήσαντος δὲ τοῦ θεοῦ παρθένον θύειν ἐκ τοῦ τῶν Αἰπυτιδῶν γένους, λέγεται εἰς τὰς μὲν τῶν ἄλλων Αἰπυτιδῶν ψυχὰς φόβος ἐνδῦναι, μὴ ἑαυτῶν τινα σημαίνοι ὁ θεός· Ἀριστόδημος δ' οὐκ ἔμελλε τὴν ἑαυτοῦ θυγατέρα θύειν, ἵνα καλῶς ἀποβαίη ὁ ὑπὲρ τῆς πατρίδος ἀγών.

84. Euphaes fällt im Kampfe. Aristodemos wird König der Messenier, welche neuen Mut schöpfen.

1 Οἱ μὲν οὖν Μεσσήνιοι ἐν τῇ Ἰθώμῃ καθήμενοι ἡσυχίαν εἶχον· οἱ δὲ Λακεδαιμόνιοι, ἀκούσαντες τὸν τοῦ Ἀπόλλωνος χρησμόν, ἀθύμως διέκειντο καὶ οὐκ ἐτόλ-
2 μησαν ἐξιέναι. Ὁ δὲ βασιλεὺς αὐτῶν Θεόπομπος, πολὺν ἤδη χρόνον ἀνιώμενος, ὅτι τὸ στράτευμα οὕτως ἀκλεῶς αὐτῷ οἴκοι ἐκάθητο, ἔτει ἕκτῳ ὕστερον πάσῃ δυνάμει τοῖς
3 πολεμίοις προσῄει. Οἱ δὲ καὶ αὐτοὶ παρασκευάζονται, ὅπως ἐκείνοις ἀντεξίασιν· καὶ ἐν τῇ μάχῃ ἄλλο μὲν οὐδὲν γίγνεται μνήμης ἄξιον, ὁ δ' Εὐφάης, τοῖς περὶ Θεό-
πομπον ἰσχυρότερον ἐπικείμενος, τραύματα πολλὰ λαμ-
4 βάνει καὶ ἀπόλλυται ὀλίγαις ἡμέραις ὕστερον. Παίδων δ' αὐτῷ οὐκ ὄντων ὁ μὲν δῆμος Ἀριστόδημον ἐφίετο βα-
σιλέα καταστῆσαι, γνοὺς τὸν ἄνδρα, ὅτι πάντων εἴη ἄρι-
5 στος καὶ πολεμικώτατος. Οἱ δὲ μάντεις παντὶ τρόπῳ ἀντ-
έλεγον οὐ νομίζοντες ὅσιον ἔσεσθαι τὴν βασιλείαν αὐτῷ
6 ἐπιτρέπειν, ἅτε τῷ τῆς θυγατρὸς φόνῳ μεμιασμένῳ. Ἔλεγε γὰρ Ὀφιονεὺς ὁ μάντις, ὃς τυφλὸς ὢν εὐθὺς ἐκ γενέσεως ἐν μεγάλῃ τιμῇ ἦν· „Μὰ Δία, οὐκ ἔγωγε φθονῶ τῷ Ἀριστοδήμῳ βασιλεύειν· ἔστι γὰρ ἀνὴρ τ' ἀγαθὸς καὶ
7 στρατηγὸς φρόνιμος. Φοβοῦμαι δέ, μὴ ἡμᾶς αὐτοὺς ἐκείνῳ συναπολλύωμεν, βασιλέα ἀποδεικνύντες αὐτόν· οὔτε γὰρ

ἐξῆν αὐτῷ τὴν ἑαυτοῦ θυγατέρα θύειν, οὔτε νῦν ἔξεστι βασιλεύειν τούτῳ τῷ φόνῳ μεμιασμένῳ. Ἐμοὶ οὖν οὐ 8
δοκεῖ τοῦτον καθιστάναι· οὐ γὰρ ἄποροί ἐστε ἄλλον εὑρίσκειν ἄνδρα τῆς ἀρχῆς ἄξιον ὄντα.“ Ἀλλ᾽ ὁ δῆμος οὐκ 9
ἐπείσθη τούτοις τοῖς λόγοις καὶ τὸν Ἀριστόδημον κατέστησε βασιλέα. Ὁ δὲ πάσῃ σπουδῇ τῷ πολέμῳ ἐπέκειτο καὶ 10
ἐπειδὴ ᾤετο τὴν δύναμιν ἑαυτῷ παρεσκευάσθαι, εἰς μάχην κατέβη.

85. Aristodemos schlägt im Verein mit den Arkadern die verbündeten Spartaner und Korinther.

Οἱ μὲν οὖν Μεσσήνιοι ἐθάρρουν πρὸς τὸν ἀγῶνα 1
τὸν ἐνεστῶτα· καὶ γὰρ ᾔδεσαν τοὺς Ἀρκάδας, συμμάχους ὄντας ἑαυτοῖς, πανστρατιᾷ ἐπιόντας. Ταῦτ᾽ ἀκούσαντες 2
οἱ Λακεδαιμόνιοι ὡς τάχιστα πρέσβεις ἔπεμψαν εἰς τὴν Κόρινθον, λέγοντας τάδε· „Ἄνδρες Κορίνθιοι, εἰ μὴ βού- 3
λεσθε τὴν Πελοπόννησον τοῖς Μεσσηνίοις δουλεύειν, πάρεστε ὡς δυνατὸν τάχιστα πάσῃ δυνάμει. Ἴστε γὰρ 4
δήπου, ποιός τις ἀνὴρ νῦν τῶν Μεσσηνίων βασιλεύει, ὃς τῇ ἑαυτοῦ χειρὶ ἔθυσε τὴν θυγατέρα, ὡς τὴν πατρίδα σώσων. Καὶ οὐ μόνον τοῖς πολίταις θαυμαστόν τινα θυμὸν 5
ἐμβέβληκεν, ἀλλὰ καὶ τοὺς ἄλλους Πελοποννησίους εἰς ἡμᾶς παροξύνει· ἴσασι γὰρ πάντες αὐτόν, ὡς θρασὺς καὶ πολε- μικὸς πέφυκεν. Καὶ οἱ μὲν Ἀρκάδες ἤδη παρεσκευασμένοι 6
εἰσὶν ὡς ἡμῖν ἐπιστρατευσόμενοι· οἱ δ᾽ Ἀργεῖοι καὶ οἱ Σικυώνιοι κοινῇ μὲν οὔ φασι τῆς στρατείας μετέχειν, ἰδίᾳ δὲ καὶ τούτων οὐκ ὀλίγοι παρέσονται βοηθοῦντες ἐκείνοις. Ὑμεῖς δὲ ταῦτ᾽ ἐννοοῦντες εἴσεσθε δήπου, τί χρὴ ποιεῖν.“ 7
Οἱ δὲ Κορίνθιοι ἔφασαν ὡς δύναιντο τάχιστα παρέ- 8
σεσθαι ἐκείνοις. Ἐπειδὴ δ᾽ ἀμφότεροι ἠθροισμένοι ἦσαν, Ἀριστόδημος, ὁρῶν τοὺς ἑαυτοῦ ἀριθμῷ ἐλάττους ὄντας,

λεπτοτέραν ἐποίησε τὴν φάλαγγα, ἵνα μὴ περιιόντες ὄπισ-
9 θεν γίγνοιντο αὐτοῦ οἱ πολέμιοι. Καὶ πρῶτον μὲν ἡ τῶν Λακεδαιμονίων φάλαγξ, ἅτε πυκνοτέρα οὖσα, τοὺς τῶν Μεσσηνίων ὁπλίτας ἐπίεζεν· ἐξαίφνης δ' οἱ γυμνῆτες αὐτῶν περιίσταντο τοὺς Λακεδαιμονίους καὶ εἰς τὰ πλάγια
10 ἠκόντιζον. Οἱ δέ, ὁπότε προϊοιεν, μάτην ἐδίωκον ἐκείνους· ὁπότε δ' ἀναχωροῖεν, ἐβάλλοντο καὶ ἠκοντίζοντο. Τέλος δ' οἱ Λακεδαιμόνιοι καὶ τῆς φάλαγγος τῶν Μεσσηνίων ἰσχυρότερον ἐπικειμένης εἰς φυγὴν ἐτράποντο.

86. Die Spartaner versuchen es mit der List. Des Aristodemos Traum.

1 Ὁπόσοι δὲ τῶν Λακεδαιμονίων ἐν τῇ φυγῇ διεφθάρησαν, οὐ σαφῶς ἴσμεν· ὁ δὲ τὰ μετὰ τὴν μάχην λογιζό-
2 μενος φαίη ἂν οὐκ ὀλίγους εἶναι. Οὐ γὰρ ἂν ἐχρήσαντο τῷ Ἀπόλλωνι, πρέσβεις πέμποντες εἰς Δελφούς, οὐδ' ἂν τοσοῦτον χρόνον μετὰ τὴν μάχην ἡσυχίαν ἔχοντες ἐκά-
3 θηντο, εἰ μὴ ἐταράχθησαν τῇ συμφορᾷ. Χρήσαντος δὲ τοῦ θεοῦ ἀπάτῃ καὶ δόλῳ χρῆναι αὐτοὺς τῆς Μεσσηνίας κρατεῖν, ἄνδρας ἑκατὸν εἰς τὴν Ἰθώμην ἀποστέλλουσιν, οἳ φάσκοντες αὐτόμολοι εἶναι δέονται τοῦ Ἀριστοδήμου
4 ἑαυτοὺς εἰς τὸ τεῖχος εἰσέσθαι. Ὁ δέ, εὖ εἰδώς, τί ἐν νῷ ἔχοιεν, ἀπεκρίνατο τάδε· „Ὑμεῖς μέν φατε αὐτομολῆσαι παρὰ τῶν Λακεδαιμονίων, ἐγὼ δέ φημι Λακεδαιμονίων
5 τἀδικήματα καινὰ εἶναι, ἀρχαῖα δὲ τὰ σοφίσματα.“ Ταῦτ' εἰπὼν ἀπέπεμψεν αὐτούς. Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες Ἀπόλλω τοῖς Μεσσηνίοις χρῆσαι, τούτοις Δία τὴν Μεσσηνίαν δώσειν, οἳ ἑκατὸν τρίποδας περὶ τὸν ἐν Ἰθώμῃ βωμὸν αὐτῷ ἀναθήσοιεν, ἐβουλεύσαντο, τί χρείη ποιεῖν.
6 Οἴβαλος δ' ἑκατὸν τρίποδας πηλοῦ ποιήσας κρύπτει ἐν διφθέρᾳ καὶ ἠμφιεσμένος θηρευτικὴν ἐσθῆτα μίγνυται

Μεσσηνίοις ἀνδράσι καὶ εἰς τὸ τεῖχος εἰσέρχεται· νυκτὸς δὲ τοὺς τρίποδας ἀναθεὶς αὖθις εἰς Σπάρτην ᾤχετο ἀπιών. Οἱ δὲ Μεσσήνιοι ἐξεπλάγησαν ἐπὶ τῷ πράγματι· καὶ ἄλλα δ' ἐτάραττεν αὐτοὺς σημεῖα κακά. Τῷ γὰρ Ἀριστοδήμῳ ὄναρ ἐδόκει μέλλοντι εἰς μάχην ἐξιέναι ἡ θυγάτηρ φανῆναι, μέλαιναν ἠμφιεσμένη ἐσθῆτα· ἀναγκάσασα δ' αὐτὸν ἀφεῖναι τὰ ὅπλα, ἀντὶ τούτων στέφανον χρυσοῦν ἐπέθηκε καὶ ἱμάτιον ἐπέβαλε λευκόν.

87. Aristodemos stürzt sich in sein Schwert. Letzte Schlacht des Krieges und Niederlage der Messenier. Ihre Auswanderung.

Ἔτι δὲ τεταραγμένῳ αὐτῷ ἦκέ τις ἀγγέλλων Ὀφιονέα 1
τὸν μάντιν, ὃς τυφλὸς πεφυκὼς οὐ πολλῷ πρότερον ἀνέ-
βλεψεν, οὐκέθ' ὁρᾶν, ἀλλ' αὖθις τυφλὸν γενέσθαι. Ταῦτ' 2
ἀκούσαντες οἱ περὶ Ἀριστόδημον συνεῖσαν, τί ποτ' ἐνόησεν
ὁ θεὸς κελεύων αὐτοὺς φυλάττεσθαι τοὺς δύο ἀναδύντας
ἐκ τοῦ λόχου καὶ εἰς τὸ χρεὼν αὖθις ἰόντας. Καὶ Ἀρι- 3
στόδημος, πᾶσαν ἀφεὶς ἐλπίδα, ἀπέγνω τοῦ βιῶναι καὶ
ἐπὶ τῷ τῆς παιδὸς τάφῳ ἑαυτὸν κατέσφαξεν. Μετὰ δὲ 4
ταῦθ' οἱ Μεσσήνιοι βασιλέα μὲν οὐδένα, Λᾶμιν δὲ στρα-
τηγὸν ἀποδεικνύασιν αὐτοκράτορα. Καὶ ἤδη οἵ τε Λακε- 5
δαιμόνιοι ἰσχυρότερον αὐτοῖς ἐπέκειντο καὶ λιμὸς ἐπίεζεν
αὐτούς, ὥστε Λᾶμις, πρὶν πάντας ἀπολέσθαι, ἐβουλεύ-
σατο καταβῆναι εἰς ἀγῶνα· ἀλλ' οὐ δυνάμενος τῶν
πολεμίων κρατεῖν αὐτός τ' ἐτελεύτησε καὶ τῶν ἀρίστων
πολλοί. Οἱ δὲ λοιποὶ πέντε μησὶν ὕστερον κατέλιπον τὴν 6
Ἰθώμην, πολεμήσαντες ἔτη εἴκοσι τὰ πάντα, ὡς φησι
Τυρταῖος ὁ ποιητής·

Ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη
νωλεμέως αἰεί, ταλασίφρονα θυμὸν ἔχοντες,

αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

7 Καὶ μέρος τῶν Μεσσηνίων εἰς Σικυῶνα καὶ Ἄργος καὶ Ἀρκαδίαν ἀπεχώρησεν, οἱ δὲ πολλοὶ κατὰ τὰς πατρίδας
8 ἕκαστος τὰς ἀρχαίας ἐσκεδάσθησαν. Οἱ δὲ Λακεδαιμόνιοι τοὺς ἀγροὺς αὐτοῖς ἐφεῖσαν ἔχειν, φόρον μὲν ἐπιτιθέντες οὐδένα, τῶν δὲ καρπῶν πάντων τοὺς ἡμίσεις κελεύοντες
9 ἀποδοῦναι. Πρὸς δὲ τούτοις ἐχρῆν αὐτοὺς ἐπὶ τὰς ἐκφορὰς τὰς τῶν βασιλέων καὶ τῶν ἄλλων ἐντίμων ἀνδρῶν εἰς Σπάρτην παρεῖναι, μέλαιναν ἠμφιεσμένους ἐσθῆτα·
10 καὶ τοῖς παραβᾶσι ζημίαι ἐπέκειντο βαρεῖαι. Καὶ δὴ καὶ ἠναγκάζοντο ὀμόσαι μήτ' ἀποστήσεσθαι αὐτῶν μήτε μεταβαλεῖν μηδὲν τῶν καθεστώτων.

88. Grausame Rache der Spartaner. Aristomenes ruft die Messenier zum Freiheitskampfe auf.

1 Τοῖς δὴ Μεσσηνίοις, ὅσοι οὐκ ἀνέστασαν ἐκ τῆς χώρας, παρῆει ὁ χρόνος ὀδυρομένοις καὶ στενάζουσιν, ὥς φησι Τυρταῖος·

Ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι
δεσποσύνοισι φέροντες ἀναγκαίης ὕπο λυγρῆς
ἥμισυ παντός, ὅσον καρπὸν ἄρουρα φέρει·

καὶ

δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

2 Τοιαῦτα πάσχοντες ἤδη πολλὰ ἔτη ἄμεινον ἐγίγνωσκον ἢ τεθνάναι καλῶς ἢ καὶ ἐκ τῆς Πελοποννήσου φεύγοντες οἴχεσθαι· καὶ δὴ παρώξυνον ἀλλήλους ἀφίστασθαι τῶν
3 Λακεδαιμονίων. Οὐχ ἥκιστα δὲ τοῦτ' ἔσπευδον οἱ νεώτεροι, τῇ τῶν πατέρων τύχῃ δεδιδαγμένοι, ὡς κακῶς
4 αὐτοὶ διακείσονται, ἐὰν ἡβήσωσιν. Ἄριστοι δὲ καὶ πλεῖ-

στοι τούτων περὶ τὴν Ἀνδανίαν τεθραμμένοι ἦσαν, ἐν δ' αὐτοῖς Ἀριστομένης, νεανίας πάντων τῶν ἡλικιωτῶν καὶ τόλμῃ καὶ γνώμῃ διαφέρων. Εἰδὼς οὖν πολλοὺς ταὐτὰ γιγνώσκοντας ἑαυτῷ πρῶτον μὲν τοὺς πολίτας ἀγείρει καὶ παραλεῖ τοῖς Λακεδαιμονίοις ἐπανίστασθαι. „Μὰ Δία," ἔφη, „οὔ με δεῖ πολλοῖς λόγοις ὑμᾶς διδάξαι, ὡς τλήμονες καὶ δυστυχεῖς ἐσμεν, αἰσχίστην δουλεύοντες δουλείαν. Καὶ μὴν καὶ τοῦτο πάντες ἐγνώκαμεν, ὅτι πολὺ κάλλιόν ἐστιν ὁμοῦ ἀποθανεῖν ὑπὲρ τῆς ἐλευθερίας μαχομένους ἢ γηράσκειν αἰσχρῶς. Ἄγε δή, μὴ καὶ ἡμεῖς γηράσωμεν δουλεύοντες, ὥσπερ οἱ πατέρες ἡμῶν, ἀλλ' ἐπαναστῶμεν τοῖς τυράννοις, ὡς μᾶλλον ἀποθανούμενοι καλῶς ἢ οὕτω κακῶς διακεισόμενοι. Γνώσεσθε δὲ ταχέως, ὅτι πᾶσά θ' ἡ Μεσσηνία καὶ τῆς Πελοποννήσου ἡ πλείστη σὺν ἡμῖν ἐστιν, ἐὰν τοὺς ἄλλους διδάξητε, τί μέλλετε ποιήσειν." Ταῦτ' ἀκούσαντες πάντες ἐπῄνεσάν τ' αὐτὸν καὶ ἔγνωσαν ἀγγέλους πέμπειν εἰς Ἀργείους καὶ Ἀρκάδας, βοήθειαν αἰτήσοντας. Ἐπειδὴ δ' αὐτοῖς καὶ τὰ ἄλλα παρεσκεύαστο καὶ οἱ σύμμαχοι προθυμότεροι ἦσαν ἢ προσεδόκων, ἀπέστησαν ἔτει πρώτῳ μὲν τῆς τριακοστῆς Ὀλυμπιάδος, ἑξηκοστῷ δὲ καὶ τετάρτῳ, ἀφ' οὗ ἑάλω ἡ Ἰθώμη. 1 2 3 4 5 6 7 8 9 10 11

Zweiter messenischer Krieg.

89. Unentschiedene Schlacht bei Derai. Kühnes Vordringen des Aristomenes. Tyrtaios.

Καὶ πρῶτον μὲν συνέβαλον Λακεδαιμονίοις μαχόμενοι ἐν Δέραις τῆς Μεσσηνίας ἔτει πρώτῳ τοῦ πολέμου, πρὶν τοὺς συμμάχους αὐτοῖς παρεῖναι. Ἡ δὲ μάχη οὐκ εἶχε 1 2

χρίσιν, καίπερ πολλῶν ἑκατέρωθεν τρωθέντων καὶ ἀπο-
3 θανόντων. Οἱ δὲ Μεσσήνιοι Ἀριστομένους καὶ τὴν ἀρε-
τὴν θαυμάζοντες καὶ τῆς τοῦ γένους δόξης μεμνημένοι
— ἦν γὰρ τῶν Αἰπυτιδῶν — οὐδέν' ἐνόμιζον εὑρήσειν
ἄνδρα, ὃς τῆς τε βασιλείας ἀξιώτερος ἔσται καὶ παντὶ τῷ
4 δήμῳ μᾶλλον ἀρέσει. Ὁ δ' ἀναμνήσας αὐτούς, ὅτι οὐκ
ἂν καλῶς ἔχοι τῆς πατρίδος ἔτι ἑαλωκυίας καὶ δουλου-
μένης βασιλέα καταστῆσαι, οὐκ ἔφη δέξεσθαι ταύτην τὴν
ἀρχήν, ἀλλ' ἀγαπήσειν, εἰ στρατηγὸς αὐτοκράτωρ ἀπο-
5 δειχθείη. Καὶ ἥρεσε τοῦτο τοῖς Μεσσηνίοις· Ἀριστο-
μένης δ' ἐπιθυμῶν τοῖς πολεμίοις μεῖζω τινὰ φόβον ἐμ-
6 βαλεῖν ἐξηῦρε τόδε· Νυκτὸς γὰρ εἰς τὴν Λακεδαίμονα
ἐμβαλὼν ἐν τῷ τῆς Χαλκιοίκου νεῷ ἀνέθηκεν ἀσπίδα, ᾗ
ἐπεγέγραπτο Ἀριστομένη ἀπὸ Σπαρτιατῶν διδόναι τῇ θεῷ.
7 Τὴν δὲ πολιτείαν τὴν τῶν Λακεδαιμονίων κατὰ τὸν αὐτὸν
χρόνον στάσεσι διεσπασμένην εἰς ἀνὴρ κατέστησεν, Τυρταῖος
8 ὁ Ἀφιδναῖος. Ἔνιοι δέ φασι χρήσαντος τοῦ Ἀπόλλωνος
τοὺς Λακεδαιμονίους σύμβουλον αἰτῆσαι τοὺς Ἀθηναίους·
τοὺς δὲ τῆς ἐκείνων ὕβρεως μνησθέντας πεισθῆναι μὲν
τῷ θεῷ, πέμψαι δὲ τὸν Τυρταῖον, γραμμάτων διδάσκαλον,
ἐλπίζοντας αὐτόν, ἅτε τὸν ἕτερον τοῖν ποδοῖν χωλὸν ὄντα
καὶ ἄπειρον τοῦ πολέμου, μὴ διδάξειν ἐκείνους, πῶς τῶν
9 Μεσσηνίων κρατήσουσιν. Ἀλλὰ ταῦτα μὲν φανερά ἐστιν
ὕστερον πεπλασμένα· ὁ δὲ Τυρταῖος, ὁστισοῦν ἦν, σύμ-
10 βουλος ηὑρέθη ἄριστος. Ποιητὴς γὰρ ὢν ἐλεγείοις τε καὶ
ἀναπαίστοις ἔπεσι τοὺς Λακεδαιμονίους παρώξυνεν, τῶν
πατέρων αὐτοὺς ἀναμιμνήσκων, οἳ χρήματά τε καὶ σώ-
ματα πλεῖστ' ἀναλώσαντες οὐκ ἀπέστησαν τοῦ πολέμου,
11 πρὶν ἡ Ἰθώμη ἁλοίη. Εἵπετο δὲ καὶ τοῖς ἐξιοῦσι καὶ
παρῆν μαχομένοις, ἀεὶ κελεύων μεμνῆσθαι, ὡς μὲν καλὸν

ἆθλον πρόκειται τοῖς ἀγαθοῖς ἀνδράσιν, ὡς δ' οἱ κακοὶ οὐδὲ φεύγοντες ἀποδράσονται τὸν θάνατον.

Ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς.
αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
καὶ χρόα γυμνωθέντα· νέῳ δ' ἔτι πάντ' ἐπέοικεν,
ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν θητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶν
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

90. Aristomenes siegt beim Ebermal.

Ἀλλὰ καὶ οἱ Μεσσήνιοι ἐμέμνηντο τῆς τῶν πατέρων 1
ἀρετῆς, εὖ εἰδότες, ὅτι οἱ Λακεδαιμόνιοι οὐπώποτ' αὐτοῖς συγγνώσονται τοσαῦθ' ἡμαρτηκόσιν. Ηὐξήθη δ' αὐτοῖς 2
ἡ δύναμις πολλῇ βοηθείᾳ οὐ μόνον τῶν πρότερον ἐκ τῆς πατρίδος πεφευγότων Μεσσηνίων, ἀλλὰ καὶ τῶν ἄλλων Πελοποννησίων. Πανταχοῦ γὰρ τῆς Πελοποννήσου ἀπήχ- 3
θητο τὸ τῶν Λακεδαιμονίων ὄνομα, ὥστε καὶ οἱ Ἠλεῖοι καὶ οἱ Ἀρκάδες καὶ τῶν Ἀργείων καὶ Σικυωνίων πολλοί, μαθόντες τὴν ἐν Λέραις μάχην, παρεσκευάσαντο μεταλήψόμενοι τοῦ ἀγῶνος. Τοῖς δὲ Λακεδαιμονίοις οἱ μὲν 4
Κορίνθιοι, ὥσπερ καὶ πρότερον, πανστρατιᾷ προσέθεντο, τῶν δὲ Λεπρεατῶν οὐκ ὀλίγοι, ἅτ' ἀπεχθομένων τοῖς Ἠλείοις. Ἀλλὰ γὰρ ἄριστον βοηθὸν προσειλήφεσαν τὸν 5
Τυρταῖον, οὗ τὰ ἐμβατήρια ἐμεμαθήκεσαν οἱ στρατιῶται, ὡς αὐξήσοντες τοὺς θυμοὺς ᾄδοντες οἷον τάδε·

Ἄγετ', ὦ Σπάρτας εὐάνδρου
κοῦροι πατέρων πολιατᾶν,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτίλμως πάλλοντες
μὴ φειδόμενοι τᾶς ζωᾶς·
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ·

καὶ

ἄγετ', ὦ Σπάρτας ἔνοπλοι κοῦροι, ποτὶ τὰν Ἄρεος κίνασιν.

6 *Μάχην δὲ συνῆψαν ἐνιαυτῷ ὕστερον τοῦ περὶ τὰς Δέρας*
ἀγῶνος ἐπὶ τῷ καλουμένῳ Κάπρου σήματι· ἔλεγον δ' Ἡρα-
κλέα ἐκεῖ κάπρον θύσαντα τοῖς Νηλέως παισὶν ὅρκον δοῦναι
7 *καὶ λαβεῖν. Καὶ οἱ Λακεδαιμόνιοι, καίπερ τῶν πολεμίων*
8 *οὐδὲν λειφθέντες ἀρετῇ, ὅμως ἐτράπησαν. Ἀριστομένης*
γὰρ ἄνδρας ἐπιλέκτους ὀγδοήκοντα λαβὼν οὐ μόνον τοὺς
περὶ Ἀνάξανδρον, τὸν τῶν Λακεδαιμονίων βασιλέα, ἐτρέ-
ψατο, ἀλλὰ καὶ τὴν ἄλλην φάλαγγα, ὅπου ὁρῴη αὐτὴν
9 *ἰσχυρότερον ἀνθεστῶσαν, ἐσκεδάννυ. Φευγόντων δ' αὐτῶν*
ἐλήφθησαν οὐ πολλοί, ὅτι Ἀριστομένης ἐν τῇ διώξει
ἀπολέσας τὴν ἀσπίδα πειρώμενος ἀνευρεῖν διέτριψε τὸν
10 *χρόνον καὶ δὴ τῶν πολεμίων ἥμαρτεν. Ἐπανιόντι δ'*
αὐτῷ εἰς Ἀνδανίαν αἱ γυναῖκες ταινίας καὶ ἄνθη ἐπέβαλον
ᾄδουσαι·

Ἔς τε μέσον πεδίον Στενυκλήριον ἔς τ' ὄρος ἄκρον
εἶπετ' Ἀριστομένης τοῖς Λακεδαιμονίοις.

91. Aristomenes dringt wiederholt in Lakonien ein. Die Spartaner siegen am grofsen Graben infolge der Bestechung des arkadischen Königs Aristokrates.

1 *Ταύτης τῆς νίκης τυχὼν Ἀριστομένης τούς τ' ἐπι-*
λέκτους καὶ ἄλλους τῶν Μεσσηνίων ἄγων ἑσπέρας ἐξή-
λασεν, ὡς καταληψόμενος τοὺς ἐν Φαραῖς Λακεδαι-
2 *μονίους. Καὶ ἐλπίζων μεγάλης λείας τεύξεσθαι οὐκ*
ἐψεύσθη· οἱ γὰρ Μεσσήνιοι διαφθείραντες τοὺς ἀμυνο-

μένους οὐ μόνον τὴν πόλιν διήρπασαν, ἀλλὰ καὶ Ἀνάξανδρον, τὸν τῶν Λακεδαιμονίων βασιλέα, ἐτρέψαντο βοηθοῦντα. Τρωθέντος δὲ τοῦ Ἀριστομένους οὐκ ἐδίωκον 3
τοὺς πολεμίους, ἀλλ᾽ ᾤχοντο τὴν λείαν ἀπελάσαντες.
Ἰαθεὶς δ᾽ ὁ Ἀριστομένης αὐτῇ τῇ Σπάρτῃ ἐπεβούλευεν, μει- 4
ζόνων τευξόμενος· λέγεται δ᾽ ὑφ᾽ Ἑλένης καὶ Διοσκόρων
ὄναρ φανέντων ἀποτραπῆναι. Οὐ πολὺ δ᾽ ὕστερον ἐν Αἰγί- 5
λοις τῆς Λακωνικῆς ἔλαβον αὐτὸν αἱ γυναῖκες, αἷς ἐπέ-
θετο Δήμητρος ἑορτὴν ἀγούσαις. Ταῖς γὰρ μαχαίραις, αἷς 6
τὰ ἱερεῖα ἔθυον, καὶ τοῖς ὀβελοῖς πολλοὺς τῶν Μεσσηνίων
ἀπέκτειναν, τῶν δ᾽ ἄλλων τοὺς μὲν ἐτρέψαντο, τοὺς δὲ ζῶν-
τας ἔλαβον. Ἀρχιδάμεια δέ, ἱέρεια τῆς Δήμητρος, ἐβου- 7
λεύσατο, ὅπως λήσει τὸν Ἀριστομένη ἀφεῖσα· ἔτυχε γὰρ
καὶ πρότερον αὐτοῦ ἐρῶσα. Καὶ ὁ μὲν ἀποδρὰς ᾤχετο 8
οἴκαδε· ἡ δ᾽ Ἀρχιδάμεια προδοσίας ὀφλοῦσα ἔλεγεν αὐτὸν
ἀποφυγεῖν διακαύσαντα τὰ δεσμά. Τρίτῳ δ᾽ ἔτει τοῦ 9
πολέμου αὖθις συνέβαλον ἐπὶ τῇ καλουμένῃ Μεγάλῃ τά-
φρῳ· οἱ δὲ Λακεδαιμόνιοι, ἵνα ῥᾷον τύχοιεν τῆς νίκης,
χρυσῷ διέφθειραν τὸν τῶν Ἀρκάδων βασιλέα Ἀριστοκράτη.
Οὗτος οὖν τοὺς Ἀρκάδας ἐδίδαξεν, ὡς ἀπειλημμένοι διὰ 10
τὴν δυσχωρίαν πάντες καταχοπήσονται, εἰ μὴ φθήσονται
φυγόντες. Καὶ τῶν ἄλλων μελλόντων συμμίξειν ἐξαίφνης 11
τοῖς ἑαυτοῦ ἐσήμηνε διὰ μέσης τῆς τῶν Μεσσηνίων φά-
λαγγος φεύγειν. Οἱ δέ, ὡς ἤσθοντο τοῦτο, ἐπιλαθό- 12
μενοι τῆς μάχης — οἱ δὲ πολέμιοι ἐγγὺς ἤδη ἦσαν —
ἐδέοντο τῶν Ἀρκάδων ὑπομένειν τοὺς ἐπιόντας· ἔνιοι δὲ
καὶ ἐλοιδόρουν αὐτούς, ὡς προδοσίας αἰσχίστης ὀφλήσον-
τας, εἰ τὴν τάξιν λείψουσιν.

92. Die Messenier ziehen sich auf die Festung Eira zurück. Aristomenes wird bei einem Einfalle in Lakonien gefangen genommen.

1 Καὶ τὸν μὲν Ἀριστοκράτη πολλοῖς ἔτεσιν ὕστερον, αὖθις ὀφλόντα προδοσίας, ἐτίσαντο· τῶν δὲ Λακεδαιμονίων τόθ' ἡττήθησαν, καίπερ ἀνδρείως ἀμυνάμενοι· περιληφ-
2 θέντες γὰρ ὑπὸ τῶν πλειόνων ἐκαμον ταχέως. Τραπέντων δ' αὐτῶν τοσοῦτο πλῆθος ἀνηλώθη, ὥστε πρότερον ἐλπίσαντες πρὸς τῇ χώρᾳ, ἣν κλήρῳ πάλαι εἰλήχεσαν, καὶ τὴν Λακεδαίμονα προσλήψεσθαι, τότε καὶ πάσης σω-
3 τηρίας ἐνόμιζον ἁμαρτήσεσθαι. Ὁ δ' Ἀριστομένης, λύπῃ καὶ ὀργῇ δεδηγμένος, ὅσοι τῶν ἑαυτοῦ ἐκ τῆς μάχης ἀπέφυγον κεκμηκότες, ἀγείρει καὶ πείθει εἰς Εἶραν τὸ
4 ὄρος ἀναβῆναι. Συνελθόντων οὖν εἰς τοῦτο τὸ χωρίον ἐπολιόρκουν οἱ Λακεδαιμόνιοι, ἐλπίζοντες αὐτοὺς
5 διὰ ταχέων καμεῖσθαι ἀμυνομένους. Οἱ δὲ Μεσσήνιοι ὑπέμενον τὴν πολιορκίαν ἔτη ἕνδεκα· ὁρῶντες γὰρ τὴν τοῦ Ἀριστομένους ἀνδρείαν οὐκ ἐπαύοντο ἐλπίζοντες πάντα κα-
6 λῶς ἀποβήσεσθαι. Λαβὼν γὰρ τριακοσίους ἄνδρας ἐπι-
λέκτους τήν τε Λακωνικὴν καὶ τὴν Μεσσηνίαν, σχεδὸν πᾶσαν τῶν πολεμίων οὖσαν, διήλαυνεν ὡς τεμῶν τοὺς ἀγρούς· σῖτον δὲ καὶ οἶνον καὶ πρόβατα ἥρπαζον οἱ περὶ
7 αὐτὸν τροφῆς ἕνεκα. Τοὺς δὲ Λακεδαιμονίους ταῦτ' ἔδακεν ἰσχυρῶς· οἱ γὰρ ἐν τῇ Εἴρᾳ οὐδὲν κακὸν ἔπασχον ἁρπάζοντες τὰ ἐκείνων· τῶν δὲ Λακεδαιμονίων ὅσοι ἔτυ-
χον ἀγροὺς ἐν τῇ Μεσσηνίᾳ λαχόντες, λιμῷ ἐπιέζοντο.
8 Ὥστε τὸ τέλος ἔκαμον μᾶλλον τοῖς πολεμίοις ἢ ἑαυτοῖς γεωργοῦντες, καὶ οὐκέτ' ἐβούλοντο τὴν Μεσσηνίαν καὶ τῆς
9 Λακωνικῆς τὰ ἐχόμενα σπείρειν. Ἀριστομένης δ' ἐπαρθεὶς τῇ εὐτυχίᾳ εἰς μέσην τὴν πολεμίαν προήλαυνε καὶ δὴ

καὶ Ἀμύκλας τὴν πόλιν ἔφθασε καταλαβών. Τοῦτο πυθόμενοι οἱ Λακεδαιμόνιοι ἐβουλεύσαντο, ὅπως συλλήψονται αὐτόν, πρὶν πᾶσαν τὴν χώραν αὐτοῖς τμηθῆναι καὶ τὰς πόλεις διαρπασθῆναι. Εἰσβαλόντων οὖν ποτε τῶν περὶ Ἀριστομένη εἰς τὴν Λακωνικὴν ἔλαθον ἐκεῖνοι πάσῃ δυνάμει προσιόντες καὶ περιλαβόντες αὐτοὺς ἐνίκησαν. Ἀριστομένης γὰρ λίθῳ τὴν κεφαλὴν βληθεὶς οὐκ ἐδύνατο τὸ πλῆθος ἀμύνασθαι, καὶ αὐτός θ' ἑάλω καὶ τῶν περὶ αὐτὸν ὡς πεντήκοντα.

93. Aristomenes wird in die Kaiadas-Schlucht geworfen und rettet sich auf wunderbare Weise.

Τοῖς δὲ Λακεδαιμονίοις ἐδόκει πάντας τοὺς ἁλωκότας εἰς τὸν Καιάδαν ῥῖψαι· ἦν δὲ τοῦτο βάραθρον βαθὺ ἐν τῷ Ταϋγέτῳ τῷ ὄρει, εἰς ὃ εἰώθεσαν καταβάλλειν τοὺς μέγιστ' ἀδικήσαντας. Οἱ μὲν οὖν ἄλλοι καταρριφέντες ἀπώλοντο αὐτίκα, τὸν δ' Ἀριστομένη θεῶν τις ἐφύλαττεν. Ἐμπίπτοντι γὰρ αὐτῷ ἀετόν φασιν ὑποπτέσθαι καὶ ἀνασχεῖν ταῖς πτέρυξιν, ἕως εἰς τὸ κάτω ἀφικόμενος αὐτὸν κατέθηκεν. Ἀριστομένης δ' ἐπειδὴ ᾔσθετο, ὅτι ἐν τῷ βαράθρῳ κέοιτο οὐδὲν τραῦμα λαβών, ἐγκεκαλυμμένος τῇ χλαμύδι κατεκλίνη· ἐνόμιζε γὰρ οὐπώποτ' ἀφίξεσθαι εἰς ἀνθρώπους, ἀλλ' ἐκεῖ ἀποθανεῖσθαι λιμῷ. Ἀλλὰ καὶ αὐτόθεν ὁ δαίμων ἔξοδον ἔδειξεν αὐτῷ· ἐπειδὴ γὰρ τρίτην ἤδη ἡμέραν διέτριψεν, ψόφου αἰσθάνεται ὡς τρώγοντος θηρός, καὶ πλησιάσαντος αὐτοῦ δρᾷ ἀλώπεκα κατεσθίουσαν τὰ τῶν τεθνεώτων ἑταίρων σώματα. Δεδιὼς οὖν, μὴ κινουμένου αὐτοῦ αἴσθοιτο ἡ ἀλώπηξ καὶ ἀποφύγοι, ἡσυχίαν ἦγεν, ἕως ἐδυνήθη αὐτῆς ἐπιλαβέσθαι. Τούτου δὲ τυχὼν τῇ μὲν ἑτέρᾳ χειρὶ τῆς ἀλώπεκος εἴχετο, ὡς ἑψόμενος αὐτῇ — σκότει γὰρ περικεχυμένος ἐδεδίει, μὴ

φθάσειεν ἐκείνη ἀποδρᾶσα — τῇ δ' ἑτέρᾳ τὴν χλαμύδα προύβαλλεν αὐτῇ, ὁπότε στρέφοιτο πρὸς αὐτὸν ὡς δηξο-
8 μένη. Οὕτως οὖν τὰ μὲν συνθέων, τὰ δὲ καὶ ἐφελκό-μενος εἰς ὀπήν τινα στενωτάτην ἀφίκετο· καὶ ἡ μὲν ἀλώπηξ ἀπέφυγε διαδῦσα, Ἀριστομένης δ' ἤσθη φῶς ὁρῶν διαφαινόμενον· ἤλπιζε γὰρ ἔξοδον εὑρήσειν καὶ σωτηρίας
9 τεύξεσθαι. Καὶ τοῦτό γ' οὐκ ἐψεύσθη· τὴν γὰρ ὀπὴν ταῖς χερσὶν εὐρυτέραν ποιήσας, ὥστ' ἐξαναδῦναι, ἐσώθη εἰς
10 φῶς καὶ εἰς τὴν Εἶραν ἀφίκετο. Οἱ δὲ Μεσσήνιοι ἐθαύ-μασαν ἰσχυρῶς, ὡς ἀναβιόντος αὐτοῦ· ἐκ πολλοῦ γὰρ
11 ἐκλαυσαν αὐτὸν καὶ κενοτάφιον ἔχεαν ὡς τεθνεῶτι. Καὶ πρότερον μὲν πᾶσαν ἐλπίδ' ἀφείκεσαν, ἅτ' ἀπεγνωκότες τῆς τοῦ Ἀριστομένους σωτηρίας· τότε δ' ἀνέπνευσαν ὁρῶντες αὐτὸν ζῶντα καὶ ἀνεθάρρησαν.

94. Aristomenes schlägt die korinthischen Hülfstruppen. Waffenstillstand. Aristomenes wird wieder gefangen genommen und entkommt.

1 Ὀλίγῳ δὲ χρόνῳ ὕστερον καὶ τοῖς πολεμίοις φανερὸς
2 ἐγένετο ζῶν. Τοῖς γὰρ Κορινθίοις παρακληθεῖσιν ὑπ' ἐκείνων ἔδοξε στρατιὰν ἀποστεῖλαι εἰς τὴν Λακεδαίμονα,
3 ἵν' ἄλοίη ποτὲ ἡ Εἶρα. Πυθόμενος οὖν Ἀριστομένης τοὺς Κορινθίους ἀτακτοτέρους ὄντας κατὰ τὴν πορείαν καὶ ἀφυ-λακτότερον στρατοπεδευομένους, ἐπέθετο αὐτοῖς νυκτὸς καὶ καταλαβὼν αὐτοὺς καθεύδοντας πολλοὺς ἀπέκτεινε καὶ τὴν τῶν στρατηγῶν σκηνὴν διήρπασεν· οἱ δὲ λοιποὶ ἀνεχώ-
4 ρησαν εἰς τὴν πατρίδα. Οἱ μὲν οὖν Κορίνθιοι ἀπωσθέν-τες βαρέως ἔφερον, οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες τὰ γεγενημένα ἀθύμως εἶχον, ἅμα δὲ καὶ ἐπῄει Ὑακίνθια·
5 ὥστε σπεισάμενοι τοῖς Μεσσηνίοις οἴκαδ' ἀπῆσαν. Κρῆτες δὲ τοξόται, οὓς ἐκεῖνοι παρεκάλεσαν μισθοφόρους, κατα-

λαβόντες ποτὲ τὸν Ἀριστομένη — τῶν γὰρ σπονδῶν γενομένων ἀσφαλῶς ᾤετο πορεύσεσθαι — οὐδὲν ἐφρόντιζον τῶν σπονδῶν, ἀλλὰ δήσαντες τοῖς ἱμᾶσιν, οὓς εἶχον ἐπὶ ταῖς φαρέτραις, ἀπήλαυνον. Ἦσαν δ' οἱ πάντες ἑπτά· καὶ 6
οἱ μὲν δύο αὐτῶν εἰς Σπάρτην ἐπορεύθησαν, ἀγγελοῦντες τὰ γεγενημένα, οἱ δ' ἄλλοι ἑσπέρας ἐπιγενομένης εἰς ἀγρόν τινα εἰσέωσαν τὸν δεδεμένον. Ἐνταῦθ' ᾤκει κόρη τις 7
μετὰ τῆς μητρός, ᾗ ὄναρ ἔδοξε τῇ προτέρᾳ νυκτί, λύκους λέοντ' εἰς τὸν ἀγρὸν ἄγειν δεδεμένον καὶ ὄνυχας οὐκ ἔχοντα· αὐτὴ δὲ λύσασα τοὺς δεσμοὺς καὶ εὐροῦσα τοὺς ὄνυχας ἔδωκεν αὐτῷ καὶ οἱ λύκοι διεσπάσθησαν ὑπὸ τοῦ λέοντος. Τότε δ' ὁρῶσα τοὺς ἄνδρας ἠρώτησε τὴν μη- 8
τέρα, τίς εἴη ὁ δεδεμένος ἀνήρ· μαθοῦσα δέ, ὡς κέκληται Ἀριστομένης, εὐθὺς συνῆκε τὸ ἐνύπνιον. Καὶ καθευ- 9
δόντων τῶν Κρητῶν ὑπὸ τοῦ οἴνου, ὃν ἔδωκε πολύν, τοὺς Ἀριστομένους δεσμοὺς κατέτεμεν· ὁ δὲ ξίφος λαβὼν παρ' αὐτῆς καὶ ἀποκτείνας τοὺς Κρῆτας ἀπέφυγεν. Ὕστερον 10
δέ, ὅτε Γόργος ὁ Ἀριστομένους ἐβουλήθη γῆμαι, ὁ πατὴρ τὴν χάριν ἀπέδωκε τῇ κόρῃ· ταύτην γὰρ νομίζων ἀξιωτάτην εἶναι τῷ υἱεῖ γήμασθαι συνῴκισε τῷ Γόργῳ.

95. Vorzeichen von Eiras Fall.

Οἱ μὲν οὖν Λακεδαιμόνιοι πυθόμενοι παρὰ τῶν Κρη- 1
τῶν, ὅτι ἑάλω ὁ Ἀριστομένης, ἥσθησαν ἰσχυρῶς· ἀλλὰ πολὺ μᾶλλον ἠχθέσθησαν ὕστερον ἀκούοντες, ὅτι ἀποδρὰς ᾤχετο. Οἱ δ' αὖ Μεσσήνιοι, ἐπιρρωσθέντες τούτοις 2
τοῖς πράγμασιν, ἀνδρειότερον ἠμύναντο τοὺς πολεμίους. Ὅμως δ' ἔτει ἑνδεκάτῳ τῆς πολιορκίας ἡ Εἶρα ἔμελλεν ἁλώ- 3
σεσθαι, καίπερ ἀθύμως ἐχόντων τῶν Λακεδαιμονίων. Ἤδη 4
δὲ καὶ αὐτοὶ οἱ Μεσσήνιοι ᾔδεσαν τοῦτο γενησόμενον. Ἀριστομένης γὰρ καὶ Θέοκλος ὁ μάντις εἰς Δελφοὺς ποτε 5

πεμφθέντες, ὡς ἐρησόμενοι περὶ τῆς σωτηρίας, τοῦδε τοῦ χρησμοῦ παρὰ τῆς Πυθίας ἔτυχον·

Εὖτε τράγος πίνῃσι Νέδης ἑλικόρροον ὕδωρ,
οὐκέτι Μεσσήνην ῥύομαι· σχεδόθεν γὰρ ὄλεθρος.

6 Εἰσὶ δ' αἱ πηγαὶ τῆς Νέδης ἐν Λυκαίῳ τῷ ὄρει· καὶ ῥυεῖσα
διὰ τῶν Ἀρκάδων ὁρίζει τὰ τῶν Μεσσηνίων καὶ τῶν
7 Ἠλείων μέχρι τῆς θαλάττης. Τοῖς μὲν οὖν Μεσσηνίοις,
ἵνα φύγοιεν τὸ κακόν, κατὰ τὸν χρησμὸν τῶν ἀρρένων
αἰγῶν ἐμεμελήκει, ὅπως μὴ πρὸς τῷ ποταμῷ νεμοῦνται.
8 Ἦν δὲ πρὸς τῇ Νέδῃ ἐρινεός, οὐκ ὀρθὸς πεφυκώς, ἀλλ' εἰς
τὸν ποταμὸν ἐστραμμένος, ὥστε τοῖς ἄκροις φύλλοις τοῦ
9 ὕδατος ἅπτεσθαι. Θέοκλος δ' ὁ μάντις θεασάμενός ποτε
τὸ δένδρον εὐθὺς ἐμνήσθη, ὡς καὶ ὁ ἐρινεὸς παρὰ τοῖς
10 Μεσσηνίοις κεκλῆτο τράγος. Ἐννοήσας οὖν, ὅτι οὐκ ὀρθῶς
οἱ Μεσσήνιοι τῶν αἰγῶν ἐπεμελήθησαν, ἀλλὰ πολὺ μᾶλ-
λον τοῦτο τὸ δένδρον ἐδέησεν αὐτοὺς φυλάττεσθαι, τοὺς
μὲν ἄλλους πολίτας ἔκρυψε τὸ πρᾶγμα, ἐπιμελούμενος,
ὅπως καὶ εἰς τὸν λοιπὸν χρόνον ὡς ἀνδρειότατα τοὺς πο-
λεμίους ἀμυνοῦνται· τὸν δ' Ἀριστομένη μόνον ἐπὶ τὸν
ποταμὸν ἦγαγε καὶ δείξας αὐτῷ τὸ δένδρον ἔλεγε τάδε.

96. Aristomenes beratschlagt mit dem Seher Theoklos.

1 „Οἶσθα καὶ σύ, ὦ Ἀριστόμενες, ὅτι ἡ Πυθία ἐπερο-
μένους ἡμᾶς ἐκέλευσε τὸν τράγον τὸν ἐκ τῆς Νέδης πί-
2 νοντα φυλάττεσθαι. Ἡμεῖς οὖν ᾠόμεθα τὸ κακὸν ἀμυ-
νεῖσθαι, εἰ τῶν αἰγῶν ἐπιμεληθεῖμεν, καὶ εἰς τὸ νῦν
3 μεμένηκεν ἡμῖν ἡ τῆς σωτηρίας ἐλπίς. Νῦν δὲ τοῦτο
τὸ δένδρον ὁρῶν οὐδὲ σὺ οἰήσει τὴν Μοῖραν ἔτι πολὺν
4 χρόνον μελλήσειν τοὺς Μεσσηνίους ἀπολλύναι. Οἱ δ'
ἡμέτεροι εἰς τοῦτον τὸν χρόνον ἐμαχέσαντο προθύμως

ἐλπίζοντες τὴν πατρίδα σώσειν· ἐὰν δὲ πύθωνται τὰ περὶ τὸν ἐρινεόν, οὐκέτι τῆς μάχης αὐτοῖς μελήσει, ἀλλὰ τοῦτο μόνον ἐπιμελήσονται, ὅπως οἰχήσονται ὡς τάχιστα τὸν θάνατον φυγόντες. Τίς γὰρ ἂν βουληθείη μάτην περὶ 5
τῆς ψυχῆς κινδυνεύειν, ὁρῶν ἤδη ἀμήχανον οὖσαν τὴν Μοῖραν; Ἐὰν δ' αὐτοὺς κρύψωμεν τὸ μέλλον, ἀνδρείως 6
μαχοῦνται, ὡς καὶ πρότερον, καὶ οὐδεὶς ἐθελήσει τὴν πατρίδα καταλείπειν. Σοῦ οὖν δέομαι ἅμα μὲν ταῦτα 7
σιγᾶν, ἅμα δὲ καὶ φροντίζειν, ὅπως τοὺς λοιποὺς τῶν Μεσσηνίων ἐκ τῆσδε τῆς χώρας σώσεις." Ταῦτ' ἐδεήθη 8
ὁ Θέοκλος· ὁ δ' Ἀριστομένης ἐπήνεσε τὸν λόγον καὶ ταῦτ' ἔφη ποιήσειν. Ἦν δὲ τοῖς Μεσσηνίοις ἱερά τινα γράμ- 9
ματα, οὐκ ἐν βιβλίῳ, ἀλλ' ἐν λεπτοτάτῳ κασσιτέρῳ γεγραμμένα, καὶ παλαιοὶ χρησμοὶ λέγοντες, ὅτι δέοι τούτων τῶν γραμμάτων ἐπιμελεῖσθαι, ὅπως μὴ ἀπολεῖται· πᾶσαν γὰρ τὴν τῶν Μεσσηνίων χώραν συναπολεῖσθαι αὐτοῖς. Ταῦθ' 10
ὁ Ἀριστομένης ἔλαθεν εἰς Ἰθώμην τὸ ὄρος κατορύξας· ᾤετο γὰρ τοὺς Μεσσηνίους, εἰ καὶ τότε τὴν πατρίδ' ἀποβάλοιεν, ὕστερόν ποτ' αὐτῶν δεήσεσθαι. Καὶ τοῦτο μὲν 11
ὀρθῶς αὐτὸν οἰηθῆναι μετὰ τὴν ἐν Λεύκτροις μάχην ἐγνώσθη· τῶν γὰρ ἱερῶν γραμμάτων ἀνηυρημένων Ἐπαμεινώνδας τοὺς Μεσσηνίους εἰς τὴν πατρίδα κατήγαγεν.

97. Geplanter Überfall der Spartaner.

Τὴν δ' Εἶραν οἱ Λακεδαιμόνιοι οὐ πολὺ ὕστερον προ- 1
δοσίᾳ εἷλον, τῶν Μεσσηνίων ἐνδέκατον ἤδη ἔτος ἀντεσχηκότων ἀνδρειότατα. Ἐπειδὴ γὰρ διὰ τὸ τῶν ἀνθρώ- 2
πων πλῆθος οὐ πᾶσιν ἐξῆν ἐντὸς τῶν τειχῶν οἰκεῖν, ἔνιοι τὰ ἔξω τῶν πυλῶν κατέσχον. Ἐν δὲ τούτοις ἐτύγχανεν 3
ὢν ἀνὴρ Λακεδαιμόνιος, αὐτομολήσας ἐκ τῆς Λακωνικῆς· ἦν δὲ βουκόλος Ἐμπεράμου, ἀνδρὸς ἐν Σπάρτῃ ἐντίμου.

4 Οὗτος οὖν ἐν χειμερίᾳ καὶ ἀσελήνῳ νυκτί, ὕοντος πολλῷ,
πυθόμενος τοὺς φυλάττοντας τὴν φρουρὰν λιπεῖν, εἰς τὸ
τῶν Λακεδαιμονίων στρατόπεδον ἀφίκετο, οὗ προειστήκει
5 Ἐμπέραμος. Καὶ πρῶτον μὲν τοῦ δεσπότου ἐδεήθη
συγγνῶναι ἑαυτῷ τὴν αὐτομολίαν· τούτου δ' ὑποσχο-
6 μένου μηδὲν αὐτὸν πείσεσθαι κακόν, ἔλεγε τάδε· „Ἐὰν
ἐμοὶ πεισθῇς, ὦ Ἐμπέραμε, οὐκέτι πολὺν χρόνον τοῖς τεί-
χεσι προσκαθεδεῖ, ἀλλὰ τῇδε τῇ νυκτὶ αἱρήσεις αὐτά.
7 Ἀριστομένης μὲν γὰρ τετρωμένος ἐν τῇ οἰκίᾳ κεῖται καὶ
οὐ δύναται τὰς φυλακὰς ἐπισκοπεῖν· οἱ δὲ φύλακες οὐκ
ἀνασχόμενοι τὸν χειμῶνα λελοίπασι τὴν φρουράν, ἐλπί-
ζοντες μήθ' ὑμᾶς μήτε τὸν Ἀριστομένη τῇ πολιορκίᾳ
8 προσέξειν τὸν νοῦν. Ἐμοὶ δ' ἤδη πολὺν χρόνον μετα-
μεμέληκε τῆς πρὸς ὑμᾶς ἀπιστίας· σὺ οὖν τὸν καιρὸν ἐμοὶ
9 παράσχες ἀπαλλαγῆναι τῆς αἰσχύνης. Εἰ γὰρ βούλει, ἐγὼ
ὑμᾶς ἄξω καὶ ῥᾴδιον ἔσται ταῦτα τὰ τείχη ἑλεῖν, οἷς
10 προσκαθεζόμενοι τοσαῦτα κακὰ πεπόνθατε. Εἰ δ' ἔτι
καὶ νῦν οἴει μελλητέον εἶναι, σαυτὸν βλάπτεις· νῦν μὲν
γὰρ ἂν ἀσφάλειαν ἀντὶ τοῦ κινδυνεύειν ἕλοιο, εἰς δὲ τὸν
ἔπειτα χρόνον ἐκ τῆς πολιορκίας κακῶς ἂν πάθοις καὶ
ἴσως οὔποτ' ἂν ἕλοις τὴν Εἶραν."

98. Die Spartaner dringen in die Festung ein. Nächtlicher Kampf.

1 Ταῦτ' εἰπὼν τῷ Ἐμπεράμῳ μεγάλην ἐνέβαλεν ἐλπίδα·
πάντα γὰρ ἐδόκει αὐτῷ καλῶς εἰρῆσθαι· καὶ λογιζόμενος,
πότερον ἕλοιτο τὸν παρόντα κίνδυνον ἢ ἀκλεῶς ἔτι τῇ
Εἴρᾳ προσκαθέζοιτο, τοῦτ' οὐκ ἀνεκτὸν εἶναι ἐνόμιζεν.
2 Μετὰ δὲ ταῦτα τοῖς μὲν στρατιώταις προεῖπε παρασκευά-
3 σασθαι, τὸν δὲ βουκόλον ἐκέλευσεν ἡγεῖσθαι. Οἱ δὲ Λα-
κεδαιμόνιοι ἐφέσποντο τῷ ἡγεμόνι, τούτου ἀεὶ ἐχόμενοι,

ἵνα μὴ ἁμάρτοιεν τῆς ὁδοῦ· οὐ γὰρ ἦν οὔτ' ἰδεῖν οὐδὲν διὰ τὸ σκότος οὔτ' ἀκοῦσαι διὰ τὸν χειμῶνα. Ἐπὶ δὲ τὴν ἀκρόπολιν ἀνελθόντες ὡς τάχιστ' εἰς τὰ τείχη ἀνέβαινον κλίμακάς τε προστιθέντες καὶ ὅτῳ τις ἐδύνατο ἄλλῳ τρόπῳ. Οἱ δὲ Μεσσήνιοι, εἰ μὴ τῇ τῶν κυνῶν κραυγῇ ἠγέρθησαν, καθεύδοντες ἂν ἐν ταῖς εὐναῖς κατελήφθησαν. Τῶν δὲ πολεμίων ἐμπεπτωκότων πρῶτοι ἤσθοντο Γόργος ὁ Ἀριστομένους καὶ Ἀριστομένης αὐτὸς καὶ Θέοκλος ὁ μάντις καὶ Μάντικλος ὁ Θεόκλου καὶ Εὐεργετίδας, ὃς ἐγεγαμήκει ἀδελφὴν τοῦ Ἀριστομένους Ἀγναγόραν. Οὗτοι οὖν ἐκπεσόντες ἐκ τῶν οἰκιῶν ἔδραμον κατὰ τὴν πόλιν καὶ εἰς τὰς ἄλλας οἰκίας εἰσῆλθον, τοὺς πολίτας ἐπὶ τὸν τελευταῖον ἀγῶνα παρακαλοῦντες. Οἱ δ' ἁρπάσαντες, ἃ πρόχειρα εἶχον ὅπλα, τὴν νύκτα μαχόμενοi διῆγον· οὔπω γὰρ ἀπειρήκεσαν ἐλπίζοντες τὴν πατρίδα σώσειν. Οἱ δὲ Λακεδαιμόνιοι, ἅτ' ἄπειροι ὄντες τῶν τόπων, οὐκ ἐτόλμων θρασύτερον προϊέναι. Ἐπειδὴ δ' ἡ νὺξ παρελήλυθει καὶ κατώφθη ὑπ' ἀμφοτέρων τὰ πράγματα, οἱ μὲν Λακεδαιμόνιοι ἰσχυρότερον ἐπέθεντο, τοὺς δὲ Μεσσηνίους Ἀριστομένης ἐπὶ τὴν ἐσχάτην τόλμαν παρώξυνεν.

99. Fortsetzung des Kampfes.

Ἐκέλευσε γὰρ αὐτοὺς μνησθῆναι τῆς τε τῶν πατέρων ἀρετῆς καὶ τῶν κακῶν, ἃ αὐτοὶ ἐνέγκαιεν τοῖς Λακεδαιμονίοις δουλεύοντες. „Πῶς γάρ," ἔφη τελευτῶν, „τὴν μέλλουσαν δουλείαν οἴσετε, οὐδὲ τὴν προτέραν ἐκείνην οἱοί τ' ὄντες ἀνασχέσθαι;" Ταῦτ' ἀκούσαντες πάσῃ δυνάμει εἰς τοὺς πολεμίους ἠνέχθησαν, καὶ δὴ καὶ τῶν γυναικῶν αἱ μὲν κέραμον ῥίπτουσαι κατὰ τῶν στεγῶν, αἱ δὲ βάλλουσαι καὶ παίουσαι ἐν ταῖς ὁδοῖς μετέλαβον τῆς μάχης. Συνειδυῖαι γάρ, ὅτι αἴσχιστον βιώσονται βίον,

ἐὰν ἁλῶσιν ὑπὸ τῶν πολεμίων, προείλοντο συναπολέσθαι μᾶλλον τοῖς ἀνδράσιν ἢ εἰς δουλείαν ἀχθῆναι εἰς τὴν Λα-
5 κεδαίμονα. Οὕτω δὴ οἱ Μεσσήνιοι τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας οὐκ ἐπαύοντο μαχόμενοι, καὶ οὐ μόνον τὰ τῆς μάχης κακά, ἀλλὰ καὶ τὸ τοῦ χειμῶνος μέγεθος ἠνεί-
6 χοντο. Καὶ ἴσως ἂν ἔτι πλείω χρόνον ἀντέσχον, εἰ μὴ ὄμβρῳ ἀεὶ κατακλυσθέντες καὶ σκηπτοῖς πληγέντες τέλος
7 λιμῷ τε καὶ δίψῃ ἐβιάσθησαν. Οὔτε γὰρ ἀναπαύσασθαι ἐδύναντο οὔτ' ἐμφαγεῖν οὐδὲν οὔτε πιόντες τὴν δίψαν
8 παῦσαι. Οἱ δὲ Λακεδαιμόνιοι, ἅτε πολλῷ πλείους ὄντες τὸν ἀριθμόν, κατὰ μέρος τὴν μάχην ἐποιήσαντο, ὥστ' ἀεὶ οἱ ἀπειρηκότες εἰς τὸ στρατόπεδον ἀπῇσαν, ὡς ἐδόμενοι
9 καὶ καθευδήσοντες. Θέοκλος δ' ὁ μάντις, ἰδὼν τοὺς Μεσ-σηνίους οὐκέτι δυναμένους τὸ τῶν πολεμίων πλῆθος ἀνα-σχέσθαι, προσελθὼν τῷ Ἀριστομένει ἔλεγεν, ὅτι τοῖς λοι-
10 ποῖς οὐδεμία εἴη ἐλπίς, εἰ μὴ σωθεῖεν ὡς τάχιστα. „Σὺ οὖν," ἔφη, „ἀθροίσας αὐτοὺς σῶσον ἐκ τῆς μάχης, ἐπειδὴ ἀπόλωλεν ἡ πατρίς· ἐγὼ δὲ βούλομαι κατὰ χώραν ἀπο-θανεῖν, ἅλις γάρ μοι βεβίωται."

100. Theoklos opfert sich. Aristomenes schlägt sich durch. Der Rest der Messenier wird von den Arkadern aufgenommen.

1 Διαλεχθεὶς δὲ τῷ Ἀριστομένει ἐνέπεσεν εἰς τοὺς πο-λεμίους βοῶν· „Ἀλλ' οὗτοι τὸν πάντα γε χρόνον χαί-
2 ροντες καρπώσεσθε τὰ τῶν Μεσσηνίων." Καὶ τοὺς καθ' ἑαυτὸν ἀποκτείνων καὶ αὐτὸς ἐτιτρώσκετο· ἐμπλήσας δὲ τὸν
3 θυμὸν τοῦ τῶν ἐχθρῶν φόνου ἀφῆκε τὴν ψυχήν. Ἀρι-στομένης δὲ τοὺς μὲν ἐν τοῖς πρώτοις ἐπιδραμόντας κατὰ χώραν εἴα μένειν, τοὺς δ' ἄλλους ἐκέλευσε τὰς γυναῖκας καὶ τὰ τέκνα εἰς τὸ μέσον λαβόντας συλλεγῆναι καὶ

ἐπισπέσθαι ἑαυτῷ, ὅπῃ ἔξοδον παρασχοίη. Ἐπειδὴ δὲ 4
πάντες αὐτῷ συνειλεγμένοι ἦσαν, ἀπεχώρει, ὡς προει-
ρήκει αὐτοῖς· οἱ δὲ περὶ Ἐμπέραμον διέστησαν ὡς διή-
σοντες, ἅτε τοὺς ἀνθρώπους ὁρῶντες ἀπεγνωκότας τὰ πάντα
καὶ ἑτοίμους ὄντας τὰ ἔσχατα παθεῖν. Οἱ δ' Ἀρκάδες 5
ἀκούσαντες τὰ περὶ τὴν Εἶραν — ταχέως γὰρ ἡ φήμη
πᾶσαν τὴν Πελοπόννησον διέπτετο — αὐτίκα τὸν Ἀρι-
στοκράτη ἐκέλευον ἑαυτοὺς ἄγειν ὡς ἢ σώσοντας τοὺς
Μεσσηνίους ἢ συναπολουμένους. Ὁ δέ, πάλαι πεπρακὼς 6
ἑαυτὸν τοῖς Λακεδαιμονίοις, οὐκ ἔφη ἄξειν, ὅτι εἰδείη
οὐδένα λελειμμένον, ὃν σῴζειν δυνήσονται. Ἀλλὰ μετ' 7
οὐ πολὺν χρόνον, ἐπειδὴ σαφέστερον ἐπύθοντο τὰ γεγενη-
μένα, ἀγγέλους ἔπεμψαν πρὸς τὸν Ἀριστομένη, πάντ' ἀγαθὰ
ὑποσχησομένους, ἐὰν ἀφίκηται εἰς τὴν Ἀρκαδίαν. Καὶ 8
οἱ Μεσσήνιοι ἥσθησάν τε ταῦτ' ἀκούσαντες καὶ εἰσελ-
θόντες εἰς τὴν χώραν περὶ τὸ Λύκαιον ὄρος ἐκαθέ-
ζοντο, οἱ δ' Ἀρκάδες αὐτοὺς ἐδέξαντο εὐνούστατα καὶ εἰς
τὰς ἑαυτῶν πόλεις ἤθελον κατανέμειν καὶ τῆς γῆς αὐτοῖς
μεταδιδόναι.

101. Nochmaliger Verrat und Steinigung des Aristokrates.

Ἀριστομένης δ' οὐκ ἠνείχετο τὴν μὲν Εἶραν διηρ- 1
πασμένην, τοὺς δὲ πολεμίους μέγα φρονοῦντας ἐπὶ τῇ τῶν
Μεσσηνίων ἀτυχίᾳ. Συγκαλέσας οὖν τὸ πᾶν πλῆθος καὶ 2
πεντακοσίους ἐκλέξας ἤρετο τοῦ Ἀριστοκράτους καὶ τῶν
ἄλλων Ἀρκάδων παρόντων, εἰ ἐθέλοιεν αὐτῷ συνεπιθέσθαι
τῇ Σπάρτῃ. Ἦν γὰρ ἑλεῖν τὴν πόλιν, ὅτι οἱ πολλοὶ τῶν 3
Λακεδαιμονίων εἰς τὴν Εἶραν ᾤχοντο, φέροντες καὶ ἄγοντες
τὰ τῶν Μεσσηνίων. Οἱ δὲ πεντακόσιοι ἔφασαν πορεύ- 4
σεσθαι αὐτοῦ ἡγουμένου, καὶ τῶν Ἀρκάδων δ' ὡς τριά-

ὅσοι ἕτοιμοι ἦσαν τοῦ τολμήματος μεταλαβεῖν. Ὁ δ' Ἀριστοκράτης πάντα γράψας ἐν βιβλίῳ καὶ τὸ βιβλίον παραδούς, ὃν ἐνόμιζε πιστότατον εἶναι τῶν οἰκετῶν, ἀπέστειλεν εἰς τὴν Λακεδαίμονα. Ἐπειδὴ δ' ἐπανῆει ὁ οἰκέτης ἐκ τῆς Λακεδαίμονος φέρων τὰ ἀνταπεσταλμένα, κατελήφθη ὑπὸ τῶν Ἀρκάδων, ἅτε πάλαι ὑποπτευόντων χρήμασιν ἐωνῆσθαι τὸν Ἀριστοκράτη· ἐπειδὴ δὲ δῆλος ἐγένετο τήν τε πατρίδα καὶ τοὺς συμμάχους ἀποδόμενος, οἱ Ἀρκάδες κατέλευσαν αὐτὸν ὡς προδότην καὶ ἔξω τῶν ὁρίων ἔβαλον ἄταφον καὶ στήλην ἀνέθεσαν εἰς τὸ Λύκαιον, λέγουσαν τάδε·

Πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκῳ βασιλῆϊ,
εὗρε δὲ Μεσσήνης σὺν Διΐ τὸν προδότην
ῥηϊδίως· χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ' ἐπίορκον.
χαῖρε, Ζεῦ βασιλεῦ, καὶ σάω Ἀρκαδίαν.

102. Messenien aufs neue unterjocht. Die Messenier siedeln sich in Zankle an. Aristomenes bleibt in Griechenland.

Ὁπόσοι δὲ τῶν Μεσσηνίων περὶ τὴν Εἶραν ἢ ἄλλοθί που τῆς Μεσσηνίας ἡττηθέντες κατελήφθησαν, τούτους οἱ Λακεδαιμόνιοι εἰς τοὺς Εἵλωτας κατέστησαν. Πύλιοι δὲ καὶ Μοθωναῖοι καὶ ὅσοι ᾤκουν τὰ ἐπιθαλάττια, εἰς Κυλλήνην τῆς Ἤλιδος ἀποπλεύσαντες τοῖς εἰς τὴν Ἀρκαδίαν ἀποσωθεῖσι παρεκελεύσαντο χώραν ζητεῖν ἅμ' ἑαυτοῖς, ἔνθα δυνήσονται ἐν ἡσυχίᾳ οἰκεῖν. Οἱ δέ, ἡσθέντες τῇ ἀγγελίᾳ, ἐδεήθησαν τοῦ Ἀριστομένους ἡγεῖσθαι ἑαυτῶν εἰς ἀποικίαν. Ἀριστομένης δ' ἠναντιώθη μὲν αὐτοῖς οὐδέν, συμπλεύσεσθαι δ' οὐκ ἔφη αὐτός, ἀλλὰ Γόργον καὶ Μάντικλον ἔδωκεν ἡγεμόνας. Διανοηθεὶς γάρ, ὅτι ἐν τῇ Ἑλλάδι διάγων ᾗστ' ἂν δυνηθείη τοὺς Λακεδαιμονίους βλάπτειν, οὐκ ἐβουλήθη εἰς ξένην ἀπαλλαγῆναι.

Οἱ δ᾽ ἄλλοι Μεσσήνιοι πάντες ἐπειράθησαν τοῦ πράγμα- 6
τος, πλὴν εἴ τις διὰ τὸ γῆρας ἀδύνατος ἦν τοῦ στόλου
μετέχειν. Καὶ συλλεγέντες εἰς τὴν Κυλλήνην τὸν μὲν 7
χειμῶνα διέτριβον αὐτοῦ· ἅμα δὲ τῷ ἔαρι ἐβουλεύοντο, ποῖ
πλέοιεν. Ἔνθα δὴ Γόργος μὲν συνεβούλευε τὴν Ζάκυνθον 8
καταλαβόντας καὶ νησιώτας γενομένους τὰ ἐπιθαλάττια
τῆς Λακωνικῆς διαφθείρειν· Μάντικλος δὲ νομίζων τούτου
μόνον δεῖν ἐπιμεληθῆναι, ὅπως καλὴν χώραν κτήσονται,
εἰς τὴν Σαρδὼ ἐκέλευε πλεῦσαι. Ἐν δὲ τούτῳ Ἀναξίλας, 9
Ἀλκιδαμίδου ἀπόγονος, τοῦ μετὰ τὴν Ἰθώμης ἅλωσιν εἰς
Ῥήγιον τῆς Ἰταλίας ἀφιγμένου, μετεπέμψατο αὐτούς, καὶ
εἰς τὴν Ἰταλίαν ἀναχθέντες μετὰ τοῦ Ἀναξίλα ἐπὶ τοὺς
ἐν Ζάγκλῃ λῃστὰς ὡρμήθησαν. Ἁλούσης δὲ τῆς πόλεως 10
ὁ μὲν Ἀναξίλας ᾠήθη δεῖν ἀποκτεῖναι πάντας τοὺς Ζαγ-
κλαίους, Γόργος δὲ καὶ Μάντικλος, ἐνθυμηθέντες, ὅσα
κακὰ αὐτοὶ ὑπὸ τῶν Λακεδαιμονίων, συγγενῶν ὄντων,
ἐπεπόνθεσαν, τοῖς Ζαγκλαίοις συνηλλάγησαν. Καὶ ἀπὸ 11
τούτου τοῦ χρόνου κοινὴν ἀμφότεροι εἶχον τὴν πόλιν,
εὐδαίμονα οὖσαν καὶ καλήν· τὸ δ᾽ ὄνομα μεταβαλόντες
Μεσσήνην ἐκάλουν.

Dritter messenischer Krieg.

103. Aristomenes stirbt. Aufstand der Messenier.

Ἀριστομένης δὲ μετὰ τῆς τρίτης θυγατρός — τὰς δὲ 1
πρεσβυτέρας ἐξέδωκεν εἰς τὴν Ἑλλάδα — πρὸς Λαμάγητον
τὸν Ῥόδιον, ὃς ἐν Ἰαλυσῷ ἐβασίλευεν, ἀφίκετο. Τούτῳ 2
γὰρ πάλαι τὸν Ἀριστομένη ἐπὶ τῇ ἀνδρείᾳ ἀγασθέντι
ἔχρησε τότε ἡ Πυθία τὴν τοῦ ἀρίστου τῶν Ἑλλήνων
ἀνδρὸς θυγατέρα γυναῖκ᾽ ἀγαγέσθαι· εἵλετο οὖν τὴν τοῦ
Ἀριστομένους. Ὁ δὴ εἰς τὴν Ῥόδον ἀφικόμενος ἐκεῖθεν καὶ 3
εἰς Σάρδεις πρὸς Ἄρδυν τὸν Γύγου καὶ εἰς Ἐκβάτανα πρὸ-

τὸν Φραόρτην ἔμελλε πορεύσεσθαι, ὡς ἐπὶ τοὺς Λακεδαι-
μονίους παροξυνῶν αὐτούς· ἀλλ᾽ οὐ πολὺ ὕστερον νοσήσας
4 ἀπέθανεν. Τελευτήσαντι δ᾽ αὐτῷ Δαμάγητος καὶ οἱ ἄλλοι
Ῥόδιοι μνημεῖον καλὸν ἔστησαν.

5 Μετὰ δὲ τὴν Εἵρας ἅλωσιν οἱ Μεσσήνιοι πολὺν χρό-
νον τὸ τῶν Λακεδαιμονίων ζυγὸν ἔφερον, ἀεὶ λυπούμενοι
6 καὶ πάντα κακὰ πάσχοντες ὑπ᾽ αὐτῶν. Ἔτεσι δ᾽ ἑκατὸν
καὶ ἑξήκοντα ὕστερον αὖθις μεγάλη ἐλευθερίας ἐλπὶς ἐφάνη
7 αὐτοῖς. Σεισμοῦ γὰρ γενομένου δεινοῦ καὶ τοῦ Ταϋγέτου
κορυφαί τινες ἀπερράγησαν καὶ Λακεδαίμων συνέπεσε
8 πᾶσα πλὴν οἰκιῶν πέντε. Οἱ δ᾽ Εἵλωτες καὶ οἱ Μεσσήνιοι
ὁρῶντες τοὺς μὲν πλείους τῶν Λακεδαιμονίων ἀπολωλό-
τας, τοὺς δὲ λοιποὺς ἐκπεπληγμένους, ἀνέστησαν καὶ
ἐπὶ τὴν Σπάρτην ὡρμήθησαν, ὡς ἀπαλλαγησόμενοι τῆς
9 ἐκείνων δουλείας. Ἐπειδὴ δ᾽ ὁ βασιλεὺς τῶν Λακεδαι-
μονίων Ἀρχίδαμος, συλλέξας τοὺς ἑαυτοῦ, τοῖς ἀφεστη-
κόσιν ἀντέστησεν, ἀποσχόμενοι τῆς πολιορκίας Ἰθώμην
τὸ ὄρος κατέλαβον καὶ ἐντεῦθεν ὁρμώμενοι τὴν Λακω-
νικὴν διέφθειραν.

104. Die Messenier werden nach Ithome gedrängt. Sie erhalten freien Abzug. Epameinondas gründet Messene.

1 Οἱ δὲ Λακεδαιμόνιοι εἰς τὸν ἔσχατον κίνδυνον κατα-
στάντες καὶ τοὺς ἐν τῇ Πελοποννήσῳ συμμάχους μετεπέμ-
ψαντο καὶ τῶν Ἀθηναίων ἐδεήθησαν βοηθῆσαι ἑαυτοῖς.
2 Καὶ οὗτοι μὲν Κίμωνι πεισθέντες — ἦν γὰρ φιλολάκων
3 — ἔπεμψαν στράτευμα, οὗ προειστήκει Κίμων. Ἐπειδὴ
δ᾽ εἰς τὴν Ἰθώμην ἀφίκοντο, οἱ Λακεδαιμόνιοι ἀπέπεμψαν
αὐτούς, εἴτ᾽ εὖ πράττοντες, ὥστε μηκέτι αὐτῶν δεηθῆναι,
4 εἴτ᾽ ἀπιστοῦντες. Οἱ δ᾽ Ἀθηναῖοι ὀργισθέντες τὸν μὲν

Κίμωνα ἐξωστράκισαν, τοῖς δὲ Λακεδαιμονίοις διὰ ταῦτα πρῶτον διηνέχθησαν. Οἱ δὲ Μεσσήνιοι πολιορκούμενοι ἐν Ἰθώμῃ ἔργα μὲν ἀπεφήναντο καλά, πλήθει δ' ἥττους ὄντες τῶν πολεμίων οὕτως ἐπιέζοντο, ὥστε τέλος πᾶσαν ἐλπίδα ἀφέντας ὑποσπόνδους ἐκ τῆς Ἰθώμης ἀπιέναι. Ἐν- 6
ταῦθα δὴ οἱ Ἀθηναῖοι, χαλεπῶς φέροντες τὴν τῶν Λακε- δαιμονίων ὕβριν, Ναύπακτον τοῖς ἐκπεπτωκόσιν ἔδοσαν ἐνοικεῖν. Μετὰ δὲ ταῦτα τῶν Μεσσηνίων οἱ μὲν τῆς 7
πατρίδος στερόμενοι πολὺν χρόνον ἐν ξένῃ διῆγον, οἱ δὲ καταδεδυκότες εἰς τὰ τῆς Μεσσηνίας ὄρη κακῶς ἔπρατ- τον, ὡς ἀπολωλυίας τῆς ἐλευθερίας.

Πολλοῖς δ' ἔτεσιν ὕστερον Ἐπαμεινώνδας τοὺς Λακε- 8
δαιμονίους ἐν Λεύκτροις νικήσας, ἵνα τὴν δύναμιν αὐτῶν παντελῶς ἀπολέσειεν, καὶ τοὺς Ἀρκάδας ἔπεισεν εἰς συμ- μαχίαν συστῆναι καὶ τοὺς Μεσσηνίους εἰς τὴν πατρίδα κατήγαγεν. Ἐπειδὴ γὰρ Ἐπιτέλης, ὁ Ἀργείων στρατηγός, 9
ἐνυπνίῳ διδαχθεὶς τὴν ἐν Ἰθώμῃ παρακαταθήκην ἀνηῦρεν, ἣν Ἀριστομένης ἐν τῷ ὄρει κατορωρύχει, οἱ Μεσσήνιοι οὐ χαλεπῶς ἐπείσθησαν πανταχόθεν ἐξ Ἰταλίας τε καὶ Σικελίας καὶ ὅπου τις ἄλλοθι εἴη αὐτῶν, συλλεγῆναι εἰς τὴν Μεσ- σηνίαν. Καὶ πόλιν οἰκίσαντες ἐν Ἰθώμῃ τῷ ὄρει, Μεσ- 10
σήνην ὄνομα, εἰς τὸν ἔπειτα χρόνον αὐτονομίᾳ ἐχρήσαντο καὶ οὐδὲν τῶν ὑπὸ τοῦ Ἐπαμεινώνδου καθεστώτων αὐ- τοῖς μετεβλήθη μέχρι τῆς ἐν Χαιρωνείᾳ μάχης.

Anhang.

I. Iambische Trimeter.

---

a.*)

1. *Τὰ χρηστὰ πράττειν ἔργον ἔστ᾽ ἐλευθέρου.*
2. *Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.*
3. *Δύσμορφος εἴην μᾶλλον ἢ κακήγορος.*

b.

4. *Κακῆς ἀπ᾽ ἀρχῆς γίγνεται τέλος κακόν.*
5. *Κρίνει φίλους ὁ καιρός, ὡς χρυσὸν τὸ πῦρ.*
6. *Καλόν γε καὶ γέροντι μανθάνειν σοφά.*
7. *Βούλου γονῆς πρὸ πάντων ἐν τιμαῖς ἔχειν.*
8. *Πρὸς τὴν ἀνάγκην πάντα τἄλλ᾽ ἐστ᾽ ἀσθενῆ.*
9. *Καλῶς φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.*

c.

10. *Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν,*
    οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι.
11. *Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.*
12. *Ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν.*
13. *Σοφὸς Σοφοκλῆς, σοφώτερος δ᾽ Εὐριπίδης,*
    ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.
14. *Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;*

---

*) Die Verse unter a. b. c. d. e. können im Anschluſs an Stück 5. bezw. 28. 39. 57. 75 des Lesebuches behandelt werden.

d.

15. *Οὐκ ἔργον ἐστὶν εὖ λέγειν, ἀλλ᾽ εὖ φρονεῖν·*
πολλοὶ γὰρ εὖ λέγοντες οὐκ ἔχουσι νοῦν.
16. *Ἀνδρὸς κακῶς πράττοντος ἐκποδὼν φίλοι.*
17. *Τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.*
18. *Ἥδιστόν ἐστιν εὐτυχοῦντα νοῦν ἔχειν.*
19. *Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ.*
20. *Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.*
21. *Τὸ σωφρονεῖν τιμᾶτε τοῦ βίου πλέον.*
22. *Ἃ μὴ προσήκει, μήτ᾽ ἄκουε μήθ᾽ ὅρα.*
23. *Οὐκ ἔστι μητρὸς οὐδὲν ἥδιον τέκνοις·*
ἐρᾶτε μητρός, παῖδες· οὐ γὰρ ἔστ᾽ ἔρως
τοιοῦτος ἄλλος.
24. *Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος θεός.*
25. *Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.*
26. *Τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν*
σοφώτερον πέφυκε κἀσφαλέστερον.
27. *Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.*
28. *Οὐδεὶς ἐπλούτησεν ταχέως δίκαιος ὤν.*
29. *Οὐκ ἔστι παισὶ τοῦδε κάλλιον γέρας,*
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι.
30. *Φιλόπονος ἴσθι, καὶ βίον κτήσῃ καλόν.*
31. *Φρόνησιν ἀσκῶν ἄφροσιν μὴ χρῶ φίλοις,*
ἐπεὶ κεκλήσῃ καὶ σὺ παντελῶς ἄφρων.

e.

32. *Ἔλπιζε τιμῶν τοὺς γονῆς πράξειν καλῶς.*
33. *Τρεῖς εἰσιν ἀρεταί, τὰς δὲ χρή σ᾽ ἀσκεῖν, τέκνον·*
θεούς τε τιμᾶν τούς τε θρέψαντας γονῆς
νόμους τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν
κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

34. *Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,*
αὐτοὶ δ᾽ ὅταν σφαλῶμεν, οὐ γιγνώσκομεν.
35. *Πόνου μεταλλαγέντος οἱ πόνοι γλυκεῖς.*
36. *Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.*

Antigone zu Kreon:

37. *Οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,*
οὐδ᾽ ἡ σύνοικος τῶν κάτω θεῶν Δίκη
τοιούσδ᾽ ἐν ἀνθρώποισιν ὥριζεν νόμους,
οὐδὲ σθένειν τοσοῦτον ὠόμην τὰ σὰ
κηρύγματ᾽, ὥστ᾽ ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄντ᾽ ὑπερδραμεῖν.

II. Hexameter und Distichen.

Aus Homer.

1. *Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα.*
2. *Ἀλλ᾽ οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ.*
3. *Ζεὺς αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν*
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν ἑκάστῳ.
4. *Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.*
5. *Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,*
εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.
6. *Ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων.*
7. *Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων*
γίγνεται, εἴ περ καί τις ἀπόπροθι πίονα οἶκον
γαίῃ ἐν ἀλλοδαπῇ ναίει, ἀπάνευθε τοκήων.
8. *Οὗτός γ᾽ Ἀτρείδης εὐρὺ κρείων Ἀγαμέμνων,*
ἀμφότερον, βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής.
9. *Πηλεὺς μὲν ᾧ παιδὶ γέρων ἐπέτελλ᾽ Ἀχιλλῆι*
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.

10. *Ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἰρὴ*
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
11. *Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι*
παῖδ' ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
ὧδε βίην τ' ἀγαθὸν καὶ Ἰλίου ἶφι ἀνάσσειν·
καί ποτέ τις εἴποι „πατρός γ' ὅδε πολλὸν ἀμείνων."

Aus Hesiod.

12. *Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.*

Epigramme.

1. Auf Demosthenes.

13. *Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,*
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

2. Auf Diogenes.

14. *Εἰπέ, κύον, τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάττεις;*
„Τοῦ Κυνός." Ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ Κύων;
„Διογένης." Γένος εἰπέ. „Σινωπεύς." Ὅς πίθον ᾤκει;
„Καὶ μάλα, νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει."

3. Auf die Helden von Thermopylai.*)

15. *Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε*
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

Aus Solons Elegien.

16. *Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.*
17. *Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισιν*
ποιήσαιμι θανὼν ἄλγεα καὶ στοναχάς.

---

*) Ciceros Übersetzung dieser Verse:
Dic, hospes, Spartae nos te hic vidisse iacentes,
dum sanctis patriae legibus obsequimur.

18. *Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἀδεῖν χαλεπόν.*
19. *Ἴομεν εἰς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου*
ἱμερτῆς, χαλεπόν τ᾽ αἶσχος ἀπωσόμενοι.

Aus Theognis.

20. *Πολλοὶ πὰρ κρητῆρι φίλοι γίνονται ἑταῖροι,*
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.
21*). *Εὖ μὲν ἔχοντος ἐμοῦ πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν*
συγχύρσῃ, παῦροι πιστὸν ἔχουσι θυμόν.
22. *Ἔστιν ὁ μὲν χείρων, ὁ δ᾽ ἀμείνων ἔργον ἕκαστον·*
οὐδεὶς δ᾽ ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.
23. *Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι*
ἄξιος ἐν χαλεπῇ, Κύρνε, διχοστασίῃ.
24. *Ζεὺς ἄνδρ᾽ ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον*
μαλθακὰ κωτίλλων ἐξαπατᾷν ἐθέλει.
25. *Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους*
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γινομένους,
οἵτινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.
26. *Θεοῖς εὔχου, θεοῖς ἐστιν ἔπι κράτος, οὗτοι ἄτερ θεῶν*
γίνεται ἀνθρώποις οὔτ᾽ ἀγάθ᾽ οὔτε κακά.
27. *Κάλλιστον τὸ δικαιότατον· λῷστον δ᾽ ὑγιαίνειν·*
πρῆγμα δὲ τερπνότατον, τοῦ τις ἐρᾷ, τὸ τυχεῖν.
28. *Οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος,*
ᾧ γνώμη θ᾽ ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις.
29. *Τολμᾶν χρὴ χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα,*
πρός τε θεῶν αἰτεῖν ἐκλυσιν ἀθανάτων.

---

*) Vgl. Ovid:
Donec eris felix, multos numerabis amicos,
tempora si fuerint nubila, solus eris.

30. *Μή μ᾽ ἔπεσιν μὲν στέργε, νόον δ᾽ ἔχε καὶ φρένας ἄλλας,*
εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος.
31. *Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,*
Κύρν᾽, ἀρετῆς δ᾽ ὀλίγοις ἀνδράσι μοῖρ᾽ ἔπεται.
32. *Κύρν᾽, ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,*
τολμᾷ δ᾽ ἔν τε κακοῖς κείμενος ἔν τ᾽ ἀγαθοῖς·
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων κακίην οὐ δύναται κατέχειν.
33. *Μηδὲν ἄγαν σπεύδειν· πάντων μέσ᾽ ἄριστα· καὶ οὕτως*
ἔξεις, Κύρν᾽, ἀρετήν, ἣν τε λαβεῖν χαλεπόν.
34. *Οὔτι μάλ᾽ ἀνθρώποις καταθύμια πάντα τελεῖται·*
πολλῷ γὰρ θνητῶν κρείττονες ἀθάνατοι.
35. *Οὐκ ἔστιν θνητοῖσι πρὸς ἀθανάτους μαχέσασθαι,*
οὐδὲ δίκην εἰπεῖν· οὐδενὶ τοῦτο θέμις.
36. *Οὐδεὶς ἀνθρώπων οὔτ᾽ ἔσσεται οὔτε πέφυκεν,*
ὅστις πᾶσιν ἀδὼν δύσεται εἰς Ἀΐδεω·
οὐδὲ γάρ, ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἀδεῖν δύναται.
37. *Οὐκ ἔραμαι πλουτεῖν οὐδ᾽ εὔχομαι, ἀλλά μοι εἴη*
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.
38. *Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελήν ποτε γαῖαν,*
ἦλθον δ᾽ Εὐβοίης ἀμπελόεν πεδίον
Σπάρτην τ᾽, Εὐρώτα δοναχοτρόφου ἀγλαὸν ἄστυ·
καί μ᾽ ἐφίλουν προφρόνως πάντες ἐπερχόμενον·
ἀλλ᾽ οὔτις μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων.
Οὕτως οὐδὲν ἄρ᾽ ἦν φίλτερον ἄλλο πάτρης.

Zweiter Teil.

Übungsstücke zum Übersetzen aus dem Deutschen ins Griechische.

I. Zur Nominalflexion.

A. Zur Deklination.

I. Zur o-Deklination.

1.

(Vgl. Lesebuch 1.)

1. Wir haben treue Freunde. 2. O Freund, du verläfst den Freund nicht, wenn er in Gefahr ist! 3. Ein treuer Freund nimmt auch an den Mühen des Freundes teil. 4. Den Worten unzuverlässiger Menschen vertrauen wir nicht. 5. Den Worten guter Menschen vertraue ich. 6. Gute Menschen verläfst Gott nicht. 7. Ihr habt immer guten Mut, denn ihr habt Gott zum Freunde. 8. In Not und Gefahr erkennen wir den Charakter der Freunde. 9. O Mensch, an Gott hast du immer einen treuen Freund!

2.

(Vgl. Lesebuch 2.)

1. Wir hören, dafs die Feinde in der Nähe der Grenze sind und schon viele Landleute in die festen Plätze fliehen. 2. Aber wir vertrauen unserm Heere, denn es hat einen tapferen Feldherrn. 3. Der Feldherr übt das Heer in den Waffen, das Lager aber hat er voll von Lebensmitteln. 4. Wir laufen keine Gefahr, denn unser Heer hat die Höhen [inne] und befestigt [sie]. 5. Das Heer mufs dem Feldherrn vertrauen. 6. Der Feldherr

hat guten Mut, das Heer gute Waffen. 7. Feldherr, du hast ein tapferes Heer!

3.

(Vgl. Lesebuch 3.)

1. Ohne Mühe ist es nicht möglich gute Früchte zu ziehen. 2. Wenn die Eber die Saaten vernichten, so pflanzen und säen die Menschen vergebens. 3. Wenn der Baum schlecht ist, so sind auch die Früchte schlecht. 4. Regengüsse ohne Sonne vernichten die Saaten. 5. Landleute, ohne Sonne und Regen säet ihr vergebens! 6. Wenn Gott nicht das Getreide wachsen läfst, so ist die Mühe des Landmanns vergeblich. 7. Gott ist ein treuer Freund in den Nöten des Lebens. 8. Die Menschen müssen auf Gott vertrauen. 9. Mit Gott sind unsere Mühen nicht vergeblich.

4.

(Vgl. Lesebuch 4.)

1. Wir hören, dafs die Grenznachbarn vorhaben die Verträge zu brechen. 2. Unsere Heere aber sind bereit und ohne Furcht. 3. Sie hüten die Grenze und hindern die Feinde, die Werke der ruhigen Landleute zu vernichten. 4. Unsere Festungen sind voll von Lebensmitteln; in die Lager aber bringen die Landleute Getreide und Vieh. 5. Wir haben treue Bundesgenossen. 6. Unsere Bundesgenossen sind schon in Waffen und bereit die Feinde zu züchtigen. 7. Am meisten aber vertrauen wir auf Gott. 8. Denn in Krieg und Gefahr sind die Waffen unzuverlässig, wenn nicht Gott dem Heere verbündet ist.

II. Zur a-Deklination.

5.

(Vgl. Lesebuch 5.)

1. Auf der Höhe über dem Flusse steht (ist) ein Siegesdenkmal. 2. Es gewährt den Teilnehmern des Krieges schöne Erinnerungen an viele Schlachten und Siege. 3. Oft blicken sie zu der Säule auf, damit sie sich freuen und ihre (die) Seelen erheben[1]. 4. Aber auch den andern ist das Denkmal lieb, be-

1) *αὐξάνειν.*

sonders den Jünglingen. 5. Denn so oft sie zu der Siegesgöttin aufblicken, bewundern sie die Tapferkeit der Vorfahren. 6. Jünglinge, lafst uns immer die Erinnerung an die Tapferkeit der Vorfahren bewahren! 7. Schöne Siege der Vorfahren nähren den Drang zu schönen Taten in den Herzen der Enkel.

6.

(Vgl. Lesebuch 6.)

1. Die Erinnerung an unsere Siege ist den Feinden eine Ursache der Scham. 2. Daher ist zu befürchten, dafs sie den Vertrag brechen und in unser Land einfallen. 3. Besonders sind unsere Landleute in Furcht; denn sie hören, dafs das Heer der Feinde voll Mut und Tapferkeit ist. 4. Schon sind viele Dörfer menschenleer, denn die Landleute fliehen von der Grenze in die festen Plätze. 5. Das Getreide und das Vieh retten sie in die Festungen, damit [es] der Feind nicht raube. 6. Lafst uns auch unser Heer in den Waffen üben, lafst uns für Zelte und Lebensmittel Sorge tragen! 7. Denn nicht nur[1] in der Tapferkeit der Heere liegt (ist) der Sieg, sondern auch in der guten Ausrüstung.

7.

(Vgl. Lesebuch 7.)

1. Sowohl in der Lebensweise als auch in den Worten und Werken fliehe das Übermafs! 2. Herrschet über die Begierden, o Jünglinge, damit nicht die Begierden über die Besonnenheit herrschen! 3. Habet stets Hunger nach Wahrheit[2] und Durst nach edlen Taten! 4. Saget nicht Vieles, sondern Zuverlässiges! 5. Die Begierde nach Ruhm und Ehre soll nicht die Seelen der Jünglinge verderben. 6. Sie sollen die Wahrheit sagen und ihre (die) Zunge hüten. 7. Sie sollen die Geldgier fliehen, denn sie ist häfslich. 8. Die Begierden sollen nicht über die Seelen herrschen, denn sie vernichten die Wurzeln der Tüchtigkeit in ihnen.

8.

(Vgl. Lesebuch 8.)

